ΚΑΘΗΜΕΡΙΝΗΣ
ΟΜΙΛΙΑΣ
Βιβλίον,

ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ ΤΙΝΕΣ.
ΕΠΙΣΤΟΛΙΑ ΔΙΑΦΟΡΩΝ.

DE FORMVLIS
COLLOQVIORVM
QVOTIDIANORVM
LIBELLVS.

ÆSOPI FABVLAE QVAEDAM.
EPISTOLAE BREVES VARIORVM,
Et alia nonnulla,
IN GRATIAM SCHOLARVM
QVÆ SVNT IN ELECTOR.
PALATINATV EDITA.

HEIDELBERGÆ,
CIↃ. IↃ. LXXXVII.

ΟΜΙΛΙΑ ΣΧΟΛΑΣΤΙΚΗ.

Προ τοῦ ὄρθρου ἐγρηγόρησα ἐξ ὕπνου. ἀνέστην ἐκ τῆς κλίνης, ἐκάθισα, ἔλαβον ὑποδεσμίας, σανδάλια ὑπεδησάμην. ἤτησα ὕδωρ εἰς ὄψιν. νίπτομαι πρῶτον τὰς χεῖρας, εἶτα τὴν ὄψιν ἐνιψάμην, ἀπέμαξα· ἀπέθηκα τὴν μίτραν.

Ἔλαβον χιτῶνα πρὸς τὸ σῶμα. περιεζωσάμην. ἤλειψα τὴν κεφαλήν μου, καὶ ἐκτένισα. ἐποίησα περὶ τὸν τράχηλον ἀναβόλαιον. ἐνεδυσάμην ἐπενδύτην λευκόν. ἐπάνω ἐνδύομαι φαινόλην. προῆλθον ἐκ τοῦ κοιτῶνος σὺν τῷ παιδαγωγῷ, καὶ σὺν τῇ τροφῷ, ἀσπάσασθαι τὸν πατέρα καὶ τὴν μητέρα· ἀμφοτέρους ἠσπασάμην, καὶ κατεφίλησα. καὶ οὕτω κατῆλθον ἐκ τοῦ οἴκου.

Ἀπέρχομαι εἰς τὴν σχολήν. εἰσῆλθον. εἶπον, χαῖρε καθηγητά. καὶ αὐτός με κατεφίλησε καὶ ἀντησπάσατο. ἐπιδίδωσί μοι ὁ παῖς ὁ ἐμὸς πινακίδας, θήκην, γραφεῖον. ἐξάγω γραφίδα. τῷ ἐμῷ τόπῳ καθήμενος, λειαίνω, περιγράφω πρὸς τὸν ὑπογραμμόν. γράψας δὲ δεικνύω τῷ διδασκάλῳ. διώρθωσεν, ἐχάραξε.

Κελεύει με ἀναγινώσκειν. κελευσθεὶς, ἄλλῳ δέδωκα. ἐμάνθανον ἑρμηνεύματα. ἀπέδωκα. ἀλλ'

ρθέως ὑπαγόρευέ μοι. ὑπηγόρευσέ μοι συμμαθητής, καὶ σύ, φησίν. εἶπον αὐτῷ, ἀπόδος πρῶτον. καὶ εἶπεν ἐμοί, οὐκ εἶδες ὅτε ἀπεδίδων πρότερόν σου; καὶ εἶπεν, ψεύδη, οὐκ ἀπέδωκας. οὐ ψεύδομαι. εἰ ἀληθῆ λέγεις, ἀναδίδωμι.

Ἐν τούτοις κελεύσαντος τοῦ καθηγητοῦ, ἐγείρονται οἱ μικροὶ πρὸς τὰ στοιχεῖα· καὶ τὰς συλλαβὰς κατέλεξεν αὐτοῖς εἷς τῶν μειζόνων. ἄλλοι πρὸς τὸν ὑποδιδακτὴν τάξει ἀποδιδόασιν. ὀνόματα γράφουσι. στίχους ἔγραψαν. καὶ ἐγὼ ἐν τῇ πρώτῃ τάξει ἅμιλλαν ἐξέλαβον.

Ἔπειτα ὡς ἐκαθίσαμεν, διέρχομαι ὑπομνήματα, γλώσσας, τέχνην. φωνηθεὶς πρὸς ἀνάγνωσιν, ἀκούω ἐξήγησιν, διανοίας, πρόσωπα.

Ἐπερωτηθεὶς τέχνην, ἀπεκρίθην, πρὸς τίνα λέγεις; τί μέρος λόγου; ἔκλινα γένη ὀνομάτων, ἐμέτρησα στίχον.

Ὡς δὲ ταῦτα ἐπράξαμεν, ἀπέλυσεν εἰς ἄριστον. ἀπολυθεὶς δὲ, ἐπανέρχομαι εἰς τὸν οἶκον. ἀλλάσσω. λαμβάνω ἄρτον καθαρόν, ἐλαίας, τυρόν, ἰσχάδας, κάρυα. πίνω ὕδωρ ψυχρόν.

Ἠριστηκὼς ἐπανέρχομαι πάλιν εἰς τὴν σχολήν. εὑρίσκω καθηγητὴν ἐπαναγινώσκοντα, καὶ εἶπεν, ἄρξασθε ἀπ' ἀρχῆς.

ΑΛΛΗ ΟΜΙΛΙΑ.

Ἤτησα ὕδωρ εἰς ὄψιν. νίπτομαι πρῶτον τὰς χεῖρας.

ρας. εἶτα τὴν ὄψιν ἐνιψάμην. ἀπέμαξα. ἀπέθηκα λευκὸν φαινόλην. προσῆλθον ἐκ τοῦ κοιτῶνος σὺν τῷ παιδαγωγῷ ἀσπάσασθαι τὸν πατέρα καὶ μητέρα· ἀμφοτέρους ἠσπασάμην καὶ κατεφίλησα, καὶ οὕτω κατῆλθον ἐκ τοῦ οἴκου.

Ἀπέρχομαι ἀσπάσασθαι πάντας τοὺς φίλους, καὶ ὁ δεσπότης προερχόμενος ἠπήντησε τῷ φίλῳ αὐτοῦ. καὶ εἶπεν, Χαίρεις Γάϊε; καὶ ἐκράτησεν αὐτὸν, λέγων, ἔστι σε ἰδεῖν; τί πράττεις; πάντα ὀρθῶς; πῶς ἔχεις; συγχαίρω σοι οὕτως ὡς ἐμοί.

Κρατήριον πρὸς τίνα; πρὸς τὸν ταμεῖαν. οὐκ ἐκεῖ. ἀλλὰ ποῦ; πρὸς τὸν ἀνθύπατον; οὐδὲ ἐκεῖ, ἀλλὰ πρὸς τοὺς ἄρχοντας ἐξ ὑπογραφῆς τοῦ διέποντος τὴν ἐπαρχίαν. ποταπὸν δέ ἐστιν αὐτὸ τὸ πρᾶγμα; οὐ πάνυ μέγα. ἔστι γὰρ χρημάτων, ἵν' ὅλον εἰδῆς. εἰ σχολάζεις, παρέδρευσον ἡμῖν. οἱ κριταὶ γὰρ ἡμέραν ἡμῖν ἔδωκαν τὴν σήμερον. ἀπόφασις εἰρημένη. διὸ βούλομαι σοῦ παρόντος περὶ τῆς δίκης σὺν τοῖς συνηγόροις σκέψασθαι. παρέλαβες; παρέλαβον. τίνας; τοὺς φίλους. καλῶς ἐποίησας. συνέταξας; περὶ ποίαν ὥραν; ἐν ποίῳ τόπῳ; ἐν τῇ ἀγορᾷ, ἐν τῇ στοᾷ, ἐγγὺς τῆς στοᾶς τῆς νίκης. μετ' ὀλίγον ἐκεῖ ἔρχομαι. ἀλλὰ παρακαλῶ, ἐν νῷ ἔχῃς. ἀμέριμνος ἔσο, ἐμοὶ μελήσει.

Ἄγωμεν ἡμεῖς πρὸς τὴν τραπεζίτην, λάβωμεν παρ' αὐτοῦ δηνάρια ἑκατόν. δῶμεν δικολόγῳ τιμικῶ,

κῷ, καὶ τοῖς συνηγόροις καὶ τῷ νομικῷ, ἵνα σπουδαιότερον ἐκδικήσωσιν ἡμᾶς. οὗτός ἐστι. λαβὲ παρ' αὐτοῦ τὸ κέρμα, καὶ ἀκολούθει, καθὼς συνεταξάμεθα.

Πάρεστι Γάϊος, συγκαλέσωμεν αὐτὸν εἰς τὴν συμβουλήν. ἐνθάδε ἔχομεν τὰ ἀσφαλίσματα. παρήγγειλας αὐτῷ; παρήγγειλα. ἐμαρτυροποίησας; ἐμαρτυροποίησα. ἕτοιμος ἔσο· ἑτοιμός εἰμι. καὶ ὁ ἀντίδικος ἐντυχεῖν ἐθέλει, σιώπησον. σιωπῶ. σιωπὴν ἔχετε. ἀκούσωμεν τὴν ἀπόφασιν. ἤκουσας ὅτι ἐνικήσαμεν; Γάιε κύριε, τί ἐπιτάσσεις. μή τι ἔχεις χρήματα εὐκαιροῦντα; τί χρείαν ἔχεις δανείσασθαι. εἰ ἔχεις, χρῆσόν μοι πέντε δηνάρια. κἂν μὴ ἔσχηκα, ὅθεν δήποτε ἐξεπλήσω ἄν. ἐνέχυρον θέλεις; μὴ γένοιτο. χειρογράφησόν μοι σὲ εἰληφέναι. ποίοις τόκοις; οἷς θέλεις. ἐχειρογράφησα· χάριτάς σοι ὁμολογῶ. σφράγισον. ἐσφράγισα. ἀριθμῶ. δοκίμασον. ἐδοκίμασα. καθὼς ἔλαβες δόκιμον ἀπόδος. αὐτό σοι ἀποδώσω καὶ ἱκανοποιήσω.

ἌΛΛΗ ὉΜΙΛΊΑ.

Καλὴ ἡμέρα. ἦλθες; ἦλθον. ἔλαβες; ἔδωκας αὐτῷ; ἔδωκα. μή τινος χρείαν ἔχεις; σὲ ὑγιαίνειν. ἐὰν θέλῃς, ἐλθὲ μετ' ἐμοῦ. ποῦ; πρὸς Φίλον τὸν ἡμέτερον Λύκιον, ἐπισκεψώμεθα αὐτόν. τί γὰρ ἔχει; ἀρρωστεῖ. ἀπὸ πότε; ἐξ ὀλίγων ἡμερῶν ἐνέπεσε. ποῦ μένει; οὐ μακράν. περιπάτει. αὐτή ἐστιν νομίζω ἡ οἰκία· αὐτή ἐστιν. ἰδοὺ καὶ ὁ θυρωρός· ἐρώτησον αὐτὸν εἰ δυνά-

μεθα εἰσελθεῖν, καὶ ἰδεῖν τὸν κύριον αὐτοῦ. κἀκεῖνος εἶπεν, τίνα ζητεῖτε; τὸν δεσπότην σου· περὶ τῆς ὑγείας αὐτοῦ ἐληλύθαμεν. ἀνάβατε. πόσας κλίμακας; δύο. εἰς τὰ δεξιὰ κρούσατε. εἰ μέντοι γε ἦλθε, περιεληλύθει γάρ. κρούσωμεν. ἴδε τί ἐστιν. χαίρετε παῖντες, τὸν κύριόν σου θέλομεν ἐπισκέψασθαι. γρηγορεῖ; μήνυσόν μοι. κἀκεῖνος εἶπεν, οὐκ ἔστιν ὧδε. τί λαλεῖς. ἀλλὰ ποῦ ἐστιν. ἐκεῖ κατέβη εἰς τὸν δαφνῶνα διακινῆσαι. συγχαίρομεν αὐτῷ. ὅταν ἔλθῃ, εἰπὲ αὐτῷ ἡμᾶς πρὸς αὐτὸν χαίροντας ἐληλυθέναι περὶ τῆς σωτηρίας αὐτοῦ· ὅτι πάντα ὀρθῶς ἔχει. οὕτως ποιήσω.

Α᾽ΛΛΗ Ο῾ΜΙΛΙ΄Α.

Σὺ ποῦ ὑπάγεις; εἰς τὴν οἰκίαν ἀποδιδῶ. διὰ τί ἐπεζήτησας; αὖ σοι ἡδύ ἐστι, σήμερον παρ᾽ ἐμοὶ ἀριστῆσον χρησίμως. οἴνῳ καλῷ οἰκιακῷ χρώμεθα. οὕτω γενέσθω. ἐν ὥρᾳ οὖν ἐλθὲ πρὸς ἡμᾶς. ὅτε θέλεις, πέμψον πρὸς ἡμᾶς· ἐν τῇ οἰκίᾳ εἰμί. οὕτω γενέσθω ἡμῖν.

Σὺ παιδάριον ἀκολούθησόν μοι εἰς τὸ κρεωπώλιον. τί ποτε ἀγοράσωμεν εἰς ἄριστον; ἐπερώτησον, πόσου ἰχθύας. δηναρίων δέκα.

Σὺ παιδάριον ὕπαγε εἰς τὴν οἰκίαν, ἵνα δυνηθῶμεν ἀπελθεῖν εἰς τὸ λαχανοπώλιον, καὶ ἀγοράσαι λάχανα, ἅπερ ἀναγκαῖά ἐστι, καὶ ὀπώρας, συκάμινα, σῦκα, μῆλα περσικά, ἀπίους, τρικόκκια.

ἰδοὺ ἔχεις πάντα ἃ ἠγοράσαμεν, ὕπαγε εἰς τὴν οἰκίαν.

Καλεσάτω τις τὸν μάγειρον. ποῦ ἐστίν; ἄνω ἀνῆλθε. καὶ τί θέλει; καταβάτω ὧδε. ἆρον, ὄψησον ἐπιμελῶς τὰ προσφάγια. ἄρτυσις καλὴ γινέσθω. ἔνεγκε τὴν κλεῖδα, καὶ λίχνους, γάρον πρῶτον καὶ δεύτερον, ὄξος δριμὺ, γλεῦκος, οἶνον λευκὸν καὶ μέλανα, παλαιὸν, ξύλα ξηρὰ, ἄνθρακας, ἀνθρακιὰν, ἀξίνην, σκεύη, λοπάδα, χύτραν, λέβητα, ἐσχάραν, πῶμα, θύαν. σὺ δὲ παιδάριον ὕπαγε πρὸς τὸν Γάιον, καὶ εἰπὲ αὐτῷ, ἐλθὲ ἐκεῖθεν. λουσώμεθα, ὕπαγε, τρέχε ταχέως, ποίησον.

Ἐγγὺς πρὸς αὐτόν; ἐγγνόμην. ὅπου ἦν; εἰς τὴν οἰκίαν ἐκάθητο. καὶ τί ἐποίει; ἐφιλολόγει. καὶ τί εἶπε; ἐκδέχου με ἐρχόμενον, καὶ ἀκολουθῶ.

Ὕπαγε πάλιν, καὶ εἰπὲ αὐτῷ, πάντες ὧδέ εἰσιν, σὺν αὐτῷ ἐλθέ. ὑμεῖς τέως ζώσατε ἐπιμελῶς τὰ ὑάλινα καὶ τὰ χαλκώματα, καὶ ὕδωρ ῥίψατε ἔξω. θέλω ἰδεῖν, ὡς οἱ νεανίσκοι. ἤδη ἔσρωσα. πάντα ἕτοιμά ἐστιν. οὐδέπω ἦλθεν; ἄπελθε, εἰπὲ αὐτῷ, ὀψὲ ἡμᾶς ποιεῖς ἀριστῆσαι. ἰδοὺ ἦλθε. ζωάντησον αὐτῷ. παρακάλεσον αὐτόν. τί ἔξω ἑστήκεις;

ἌΛΛΗ ὉΜΙΛΊΑ.

Καταγετε σάβανα εἰς τὸ βαλανεῖον, ξυστρὰν, προσόψιον, ποδεκμάγιον, λήκυθον· προάγετε, λάβετε τόπον· ποῦ κελεύεις; εἰς τὸ δημόσιον ἢ ἐν τῷ

ἰδιωτικῷ; ὅπου κελεύετε; ὅτε ὑπάγομεν, διηγήσομαί σοι.

ἌΛΛΗ ὉΜΙΛΊΑ.

Ἐγείρου, ἄγωμεν. μήτι θέλεις ἐλθεῖν εἰς ἀπόπατον; καλῶς με ὑπέμνησας, ἡ κοιλία με ἐπείγει. ἄγωμεν.

Λοιπὸν ἔκδυσόν με. ὑπόδυσόν με. σώθες τὰ ἱμάτια. περίβαλε. τήρει καλῶς. μὴ νύσταζε διὰ τοὺς κλέπτας.

ἌΛΛΗ ὉΜΙΛΊΑ.

Ἄρπασον ἡμῖν σφαῖραν. γυμνασθῆναι θέλω ἐν τῷ κηρώματι.

Δεῦρο παλαίσωμεν διὰ χρόνου. μιᾷ ῥοπῇ. οὐκ οἶδα, οὐδὲ δύναμαι. πάλαι γὰρ πέπαυμαι τοῦ παλαίειν· ὅμως πειράσω εἰ δύναμαι. ἐλαφρῶς κεκοπίακα. ἄλειψον. ἤλειψα. ἀλείψομαι. τρίψον. ἱδροῖς; ἱδρῶ. ἐκλέλυμμαι. κατάβα. ἔξελθε λοιπόν.

Βάλλε σεαυτὸν εἰς τὴν κολυμβήθραν ὑπαίθριον. κολύμβησον. ἐκολύμβησα.

Περίχεε σαυτόν. περιέχεον· ἀνέλαβον. ἐπίδος ξύστραν. περικατάμαξόν με· κατάμαξόν μοι τὴν κεφαλήν, καὶ τοὺς πόδας. δὸς σανδάλια. ὑπόδυσόν με. ἐπίδος ἐπικάριον. καλῶς ἐλούσω. καλῶς σοι ἔσω.

ἌΛΛΗ ὉΜΙΛΊΑ.

Δότε ὧδε θρόνους, δίφρους, βάθρον, διέδραν,

προσκεφάλαιον. καθέζου. κάθημαι. τί ἐζήτεις· πλύνον ποτήριον ὕδατι θερμῷ. συγκέρασον· πάνυ γὰρ διψῶ. κέρασον πᾶσι. τίς τί θέλει· ἢ ἄκρατον, ἢ καρηνὸν, αὐτὸν ἐκείνῳ κέρασον.

Σὺ τί θέλεις; πλυνόν ποτήριον. κέρασόν μοι θερμὸν, μὴ ζεστὸν, μήτε χλιαρὸν, ἀλλὰ συγκέραστον. βάλλε νεαρόν· πρόσθες ἄκρατον.

Τί ἐζητεῖτε; καθέζεσθε, ἐὰν θέλετε ἀναπέσωμεν. ποῦ κελεύεις. ἐν πρώτῳ τόπῳ ἀνάπεσον. δός μοι γεύσασθαι μαλάχας ζεστάς· ἐπίδος μοι χειρομάγιον· κομίσατε. ἴδε εἰ ἔχεις πεπεράτον. ἐπίβαπτε. χρῶμαι. χρῶ. δὸς σῦκον τὸ τρυφερὸν, κίχλας, γαλίκρεας, θρίδακας. εἷς ἐξ ὑμῶν ἄρτον κλάσῃ. κλάσον ψωμούς. δειπνήσατε. πάντως ἐκεῖνος ἄξιός ἐστι παρ' ἡμῖν δειπνῆσαι. δὸς ταρίχιον, τριχίδας, λώβια, ὄρμινον μετὰ γάρου, γογγυλωτὸν, ὄρνιν ὀπτὴν, ψιλὴ πλευρὰ διὰ ζωμοῦ, τεμάχια, δέλφακα ὀπτόν.

Θὲς τὸν δίσκον μετὰ τρωξίμων, ῥαφάνους, ἡδύοσμον, ἐλαίας λευκὰς, καὶ τυρὸν νεαροπαστὸν, οἶδνα, μύκητας. τοῖς ὑπηρετήσασι δότε δειπνῆσαι, καὶ τῷ μαγείρῳ, καὶ τραγήματα, ὅτι καλῶς ὑπηρέτησε. δότε ὕδωρ εἰς χεῖρας. κατάμαξον τὴν τράπεζαν.

Πρόσφατον δὸς ἀπλοπότην. δὸς ἄκρατον· κέρασον θερμὸν εἰς τὸ μεῖζον, εἰς τὸ μικρόν. ἡδέως. ἐλπίζω γὰρ τὴν ἄλλην ἰδεῖν σε. ἐὰν ἐπιτρέπῃς, προπίνω

πίνω σοι. καλῶς· λαμβάνω ἀπὸ σοῦ ἡδέως. διὰ τί σὺ πίνεις; πίε κύριε. ᾔτησα, καὶ οὐδείς μοι δέδωκε.

Δὸς ἡμῖν γλυκέα πλακοῦντα. ἀρκεῖ ἡμῖν.

Ἄγωμεν λοιπὸν, ἅψον λαμπάδα, λαβέ. καλῶς ἡμᾶς εἶχες.

Παιδίον ἐλθὲ, σύλλεξον ταῦτα πάντα, τοῖς ἰδίοις τόποις ἀπόθου ἐπιμενῶς.

Στρῶσον τὴν κλίνην. ἐστρώσαμεν. καὶ δὲ αὐτὸ σκληρόν ἐστιν. ἐξετεινάξαμεν, καὶ προσκεφάλαιον ἐμαλάξαμεν. ἐπειδὴ γὰρ ὀκνηρῶς ἃ ἀναγκαῖά ἐστιν, ἐποιήσαμεν.

Μηδεὶς ἔξω διανυκτερεύῃ, ἢ ἐξέλθῃ. ἐὰν τὴν ὄνου φωνῆς ἀκούσω, οὐ συγχωρήσω.

Ἀναλάβετε ὑμᾶς. κοιμᾶσθε, καὶ ἀλεκτρυοφωνίᾳ με ἐξυπνήσατε, ἵνα ἐκδράμω.

ΑΙΣΩ-

ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ ΤΙΝΕΣ.

Κοχλίαι.

ΓΕΩΡΓΟΥ παῖς ὤπτα κοχλίας. ἀκούσας δὲ αὐτῶν τριζόντων, ἔφη, Ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον, ἐπονείδιστον.

Ἔριφος καὶ Λύκος.

ΕΡΙΦΟΣ ἐπί τινος δώματος ἑστὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. ὁ δὲ λύκος ἔφη, Ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

Λέων καὶ Βάτραχος.

ΛΕΩΝ ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνήν, οἰόμενος μέγα τι ζῶον εἶναι. προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ἐπιμύ-

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μὴ δεῖν πρὸ τῆς ὄψεως, δι' ἀκοῆς μόνης ταράττεσθαι.

Ἔλαφος καὶ Λέων.

ΕΛΑΦΟΣ κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ· λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. θνήσκουσα δ' ἔλεγεν, Οἴ μοι, ὅτι ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

Ὗς καὶ Κύων.

ΥΣ καὶ Κύων περὶ εὐτοκίας ἤριζον. ἔφη δ' ἡ κύων, εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν ζώων. καὶ ἡ ὗς ὑποτυχοῦσα, πρὸς ταῦτά φησιν, Ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι, ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

Γέρων καὶ Θάνατος.

ΓΕΡΩΝ ποτὲ ξύλα κόψας, καὶ ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε. καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐν τόπῳ τινὶ τὸ φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο. τοῦ δὲ θανάτου παρόντος, καὶ πυνθανομένου

τὴν

τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη, ἵνα μου τὸν φόρτον ἄρῃς.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλοζωεῖ, εἰ καὶ δυστυχεῖ, καὶ πτωχός ἐστι.

Ονος καὶ Αλώπηξ.

ΟΝΟΣ ἐνδυσάμενος λεοντὴν, περιήει τὰ ἄλλα τῶν ζώων ἐπιφοβῶν. καὶ δὴ θεασάμενος ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. ἡ δὲ (ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα) πρὸς αὐτὸν ἔφη, Αλλ' εὖ ἴσθι, ὡς καὶ ἐγώ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων τοῖς ἔξω δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

Κύων καὶ Μάγειρος.

ΚΥΩΝ εἰσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. ὁ δὲ μάγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν, Ω οὗτος, ἴσθι ὡς ὅπου περ ἂν ἦς, φυλάξομαί σε. οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν ἔδωκας.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίγνονται.

Γυνὴ καὶ ὄρνις.

ΓΥΝΗ' χήρα τις ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν. νομίσασα δὲ ὡς εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλλοι, δὶς τέξεται τῆς ἡμέρας. τοῦτο πεποίηκεν. ἡ δ' ὄρνις πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τικεῖν ἠδύνατο.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀποβάλλουσι.

Ορνις χρυσοτόκος.

ΟΡΝΙΘΑ τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν, καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

Χελώνη καὶ Αετός.

ΧΕΛΩ'ΝΗ ἀετοῦ ἐδεῖτο, ἵπτασθαι ταύτην διδάξαι. τοῦ δὲ παραινοῦντος, πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ' ἀφῆκεν. ἡ δὲ κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακύψαντες, ἑαυτοὺς ἔβλαψαν.

Αἰθίοψ.

ΑΙΘΙΟΠΑ τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν, ἀμελείᾳ τοῦ προτέρου ἔχοντος. καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν. καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τὸ πονεῖν παρεσκεύασε.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

Ορνις καὶ Χελιδών.

ΟΡΝΙΣ ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. χελιδὼν δὲ θεασαμένη αὐτὴν, ἔφη, Ω ματαία, τί ταῦτα τρέφεις, ἅπερ αὐξηθέντα, ἀπό σου πρώτης τοῦ ἀδικεῖν ἄρξεται;

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

Κόραξ.

ΚΟΡΑΞ νοσῶν ἔφη τῇ μητρὶ, Μῆτερ εὔχου τῷ θεῷ, καὶ μὴ θρήνει. ἡ δ' ὑπολαβοῦσα, ἔφη, Τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπό σου γε οὐκ ἐκλάπη;

Επιμύ-

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες, οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

Αλώπηξ καὶ Λέων.

ΑΛΩΠΗΞ μή πω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάῤῥησεν, ὡς καὶ προσελθοῦσα διαλεχθῆναι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια, καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

Τέττιξ καὶ μύρμηκες.

ΧΕΙΜΩΝΟΣ ὥρα τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον. τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. οἱ δὲ μύρμηκες εἶπον αὐτῷ, Διὰ τί τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν, Οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. οἱ δὲ γελάσαντες εἶπον, Αλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὄρχου.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ, καὶ κινδυνεύσῃ.

Ζεύς.

ΖΕΥΣ γάμους τελῶν, πάντα τὰ ζῶα εἱστία,

μόνης δὲ τῆς χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως, ἐπυνθάνετο αὐτῆς, τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο. τῆς δὲ εἰπούσης, Οἶκος φίλος, οἶκος ἄριστος, ἀγανακτήσας κατ' αὐτῆς, κατεδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται, μᾶλλον λιτῶς παρ' ἑαυτοῖς ζῆν, ἢ παρ' ἄλλοις πολυτελῶς.

Ιππος καὶ Ονος.

ΑΝΘΡΩΠΟΣ τις εἶχεν ἵππον καὶ ὄνον. ὁδοιπορούντων δὲ ἐν τῇ ὁδῷ, εἶπεν ὁ ὄνος τῷ ἵππῳ, ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν. ὁ δὲ οὐκ ἐπείσθη. ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησε. τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ, καὶ αὐτὴν τὴν ὄνου δορὰν, θρηνῶν ὁ ἵππος ἐβόα, Οἴμοι τῷ πανάθλίῳ. τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, ἀμφότεροι σωθήσονται ἐν βίῳ.

Κλέπται καὶ Αλεκτρυών.

ΚΛΕΠΤΑΙ εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, ὅτι μὴ ἀλεκτρυόνα. καὶ τοῦτον λαβόντες ἀπῄεσαν.

ἥσσων. ὁ δὲ μέλλων ὑπ' αὐτοῦ θύεσθαι, ἐδεῖτο ὡς αὐτὸν ἀπολύσωσι, λέγων, χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. οἱ δὲ ἔφησαν, Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηστοῖς ἐστὶν εὐεργετήματα.

Ὁδοιπόροι.

ΔΥΟ τινὲς κατὰ ταὐτὸν ὁδοιπόρουν, καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτὸν, μὴ λέγειν, εὕρηκα, ἀλλ' εὑρήκαμεν. μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος πρὸς τὸν μὴ εὕροντα συνοδοιπόρον ἔλεγεν, ἀπολώλαμεν· ὁ δὲ εἶπεν, Ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν· καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα ἔλεγες, οὐχ εὑρήκαμεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Νεανίσκοι καὶ μάγειρος.

ΔΥΟ νεανίσκοι μαγείρῳ παρεκάθηντο, καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων μέρος τι τῶν κρεῶν ὑφελό-

μενον, εἰς τὸν θατέρου καθῆκε κόλπον. ἐπιστραφέντος δὲ τοῦ μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων, μὴ εἰληφέναι. ὁ δὲ μάγειρος αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν· Ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ' ἐπιορκούμενον θεὸν οὐκ οὖν λήσεσθε.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήσομεν.

Γεωργὸς καὶ παῖδες αὐτοῦ.

ΓΕΩΡΓΟΣ τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλησάμενος αὐτοὺς, ἔφη, Παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπεξέιμι, ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες, εὑρήσετε πάντα. οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν, καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

Δεσπότης καὶ Κύνες.

ΑΝΗΡ τις ὑπὸ χειμῶνος ἐν τῷ αὐτοῦ προαστείῳ ἀπολειφθεὶς, πρῶτα μὲν τὰ πρόβατα κατέσφα-

ἔφαγον, εἶτα τὰς αἶγας. τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος, καὶ τοὺς ἐργάτας βοῦς σφάξας, ἐθοινήσατο. οἱ δὲ κύνες ταῦτα ἰδόντες, διελέχθησαν πρὸς ἀλλήλους, φεύγωμεν ἀλλ᾽ ἡμεῖς γε ἐντεῦθεν. εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται;

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι τούτους μάλιστα φεύγειν καὶ φυλάττεσθαι χρὴ, οἵ τινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

Αλώπεκες.

ΑΛΩΠΗΞ ἐν παγίδι ληφθεῖσα, καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ᾽ αἰσχύνης ἡγεῖτο τὸν βίον. ἔγνω οὖν καὶ τὰς ἄλλας ἀλώπεκας τοῦτ᾽ αὐτὸ νουθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος. καὶ δὴ πάσας ἀθροίσασα, παρῄνει τὰς οὐρὰς ἀποκόπτειν, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὂν, ἀλλὰ καὶ περιττὸν βάρος προσηρτημένον. ὑπολαβοῦσα δέ τις αὐτῶν εἶπεν, Ω αὕτη, ἀλλ᾽ εἰ μή σοι τοῦτο προσέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

Ἐπιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων οὐ δι᾽ εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, διὰ δὲ τὸ αὐτοῖς συμφέρον.

Ἑρμῆς καὶ Ἀγαλματοποιός.

ΕΡΜΗΣ γνῶναι βουλόμενος ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστὶν, ἧκεν εἰς ἀγαλματοποιοῦ, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ. καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς, ἠρώτα, πόσου τις αὐτὸ πρίασθαι δύναται; τοῦ εἰπόντος δραχμῆς· γελάσας, πόσου τῆς Ἥρας, ἔφη; εἰπόντος δὲ, πλείονος· ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα, καὶ νομίσας, ὡς, ἐπειδὴ ἄγγελός ἐστι θεῶν καὶ κερδῷος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. ὁ δ' ἀγαλματοποιὸς ἔφη, ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοὶ δίδωμι.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρα κενόδοξον, ἐν οὐδεμιᾷ παρ' ἄλλοις ὄντα τιμῇ.

Λύκος καὶ Γέρανος.

ΛΥΚΟΥ λαιμῷ ὀστέον ἐπεπήγει. ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. ἡ δὲ τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. ὅστις γελάσας, καὶ τοὺς ὀδόντας θήξας, Ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆρες κάραν σῶαν καὶ μηδὲν παθοῦσαν.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας οἵτινες, ἀπὸ κινδύνου

δια-

διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

Ἁλιεύς.

ΑΛΙΕΥΣ ἔν τινι ποταμῷ ἡλίευεν. διατείνας δὲ τὰ δίκτυα, καὶ τὸ ῥεῦμα περιλαβὼν ἑκατέρωθεν, καλωδίῳ προσδήσας λίθον, τὸ ὕδωρ ἔτυπτεν, ὅπως οἱ ἰχθύες φεύγοντες, ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις θεασάμενος τοῦτο ποιοῦντα, ἐμέμφετο ὡς τὸν ποταμὸν θολοῦντα καὶ διειδὲς ὕδωρ μὴ συγχωροῦντα πίνειν. καὶ ὃς ἀπεκρίνατο, Ἀλλ' εἰ μὴ οὕτως ὁ ποταμὸς ταράττεται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.

Ἐπιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι καὶ τῶν πόλεων οἱ δημαγωγοὶ, τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσιν περιάγωσιν.

Λύκος καὶ Γραῦς.

ΛΥΚΟΣ λιμώττων, περιῄει ζητῶν τροφήν. γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος, καὶ γραὸς λεγούσης αὐτῷ, Παῦσαι τοῦ κλαίειν, εἰ δὲ μὴ, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. οἰόμενος δὲ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ, Ἐαν ἔλθῃ ὁ λύκος δεῦρο,

φονεύσωμεν, ὦ τέκνον, αὐτόν. ταῦτα ἀκούσας ὁ λύκος, ἐπορεύετο λέγων, ἐν ταύτῃ τῇ ἐπαύλει, ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

Επιμύθιον.

Ο μῦθος πρὸς ἀνθρώπους, οἵτινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

Κύνες.

ΕΧΩΝ τις δύο κύνας τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. καὶ δὴ εἴ ποτε ὁ θηρευτικὸς ἠγρεύετι, καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης. ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ, κἀκεῖνον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν καθ᾽ ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς εἶπε, μὴ ἐμέ, ἀλλὰ τὸν δεσπότην μέμφου, ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι οὐ μεμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

Ανθρωπος καταθραύσας ἄγαλμα.

ΑΝΘΡΩΠΟΣ τις ξύλινον ἔχων θεόν, πένης ὤν, καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. ὡς οὖν ταῦτα ἔπραττεν, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔρριψεν εἰς τὸ ἔδαφος. προσκρουσάσης οὖν τῆς κεφαλῆς, καὶ αὐτίκα κλασθείσης,

θείσης, χρυσὸς ἐῤῥύσεν ὅτι πλεῖστος. ὅνπερ δὴ συνάγων ὁ ἄνθρωπος, ἐβόα, Στρεβλὸς ὑπάρχεις, ὥς γε οἶμαι, ὦ ἀγνώμων, τιμῶντά σε γὰρ ἥκιστά με ὠφέλησας, τύψαντα δέ σε πολλοῖς καλοῖς ἀμείβῃ.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον, τύπτων δὲ αὐτὸν μᾶλλον ὠφελήσῃ.

Γυνὴ καὶ Θεράπαιναι.

ΓΥΝΗ χήρα φίλεργος θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα, πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστέντος τὴν δέσποιναν. συνέβη δὲ αὐταῖς τοῦτο διαπραξαμέναις, χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. ἡ γὰρ δεσπότις ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα κακῶν αἴτια γίνεται.

Κομπαστής.

ΑΝΗΡ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἂν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. πρὸς τοῦτο δὲ

καὶ

καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. τῶν δὲ παρόντων τὶς ὑπολαβὼν, ἔφη, Ω οὗτος, εἰ ἀληθὲς τοῦτ' ἐστιν, οὐδὲν δεῖ σοι μαρτύρων, ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

Κακοπράγμων.

ΑΝΗΡ κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν Ἀπόλλωνα, πειρᾶσαι τοῦτον βουλόμενος. καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔστη τε τοῦ τρίποδος ἔγγιστα, καὶ ἤρετο τὸν θεὸν, λέγων, Απολλον, ὃ μετὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν, ἢ ἄπνουν; βουλόμενος, ὡς εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον, εἰ δ' ἔμπνουν, εὐθὺς ἀποπνίξας, νεκρὸν ἐκεῖνο προσενεγκεῖν. ὁ δέ γε θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν, Οπότερον, ὦ οὗτος, βούλει ποιῆσαι, ποίησον. παρὰ σοὶ κεῖται γὰρ τοῦτο πρᾶξαι, ἤτοι ζῶν ὃ κατέχεις, ἢ νεκρὸν ὑποδεῖξαι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαραλόγιστον καὶ ἀλάθητον.

Παῖς καὶ Μήτηρ.

ΠΑΙΣ ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας, ἤνεγκε τῇ μητρί. τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις, ἤρξατο καὶ τὰ μείζω κλέπτειν. ἐπ' αὐτοφώρῳ δέ ποτε ληφθεὶς, ἀπήγετο τὴν πρὸς θάνατον. τῆς δὲ μητρὸς ἑπομένης, καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς τὸ οὖς. τῆς δὲ ταχέως τῷ στόματι τοῦ παιδὸς προσθείσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν, ἀφείλετο. τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ' ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν· Αὕτη γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος. εἰ γὰρ, ὅτε τὴν δέλτον ἐκεκλόφειν, ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρίσας, νῦν ἠγόμην ἐπὶ τὸν θάνατον.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ' ἀρχὰς κολαζομένων, ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

Ἀλώπηξ καὶ Τράγος.

ΑΛΩΠΗΞ καὶ τράγος διψῶντες εἰς φρέαρ κατέβησαν. μετὰ δὲ τὸ πιεῖν, τοῦ τράγου σκεπτομένου τὴν ἄνοδον, ἡ ἀλώπηξ ἔφη, Θάρσει, χρήσιμόν τι καὶ εἰς τὴν ἀμφοτέρων σωτηρίαν ἐπινενόηκα. εἰ γὰρ ὄρθιος σταθεὶς, τοὺς ἐμπροσθίους τῶν ποδῶν τῷ τοίχῳ προσερείσεις, καὶ τὰ κέρατα ὁμοίως εἰς τοὔμπροσθεν

κλι-

κλινεῖς, ἀναδραμοῦσα διὰ τῶν σῶν αὐτὴ νώτων καὶ κεράτων, καὶ ἔξω τοῦ φρέατος ἐκεῖθεν πηδήσασα, καὶ σὲ μετὰ τοῦτο ἀνασπάσω ἐντεῦθεν. τοῦ δὲ τράγου πρὸς τοῦτο ἑτοίμως ὑπηρετησαμένου, ἐκείνη τοῦ φρέατος οὕτως ἐκπηδήσασα, ἐσκίρτα περὶ τὸ στόμιον ἡδομένη. ὁ δὲ τράγος αὐτὴν ἐμέμφετο, ὡς παραβαίνουσαν τὰς συνθήκας. ἡ δ᾽, Ἀλλ᾽ εἰ τοσαύτας, εἶπε, φρένας ἐκέκτησο, ὁπόσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον ἂν κατέβης, πρὶν ἢ τὴν ἄνοδον σκέψασθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνδρα δεῖ πρότερον τὰ τέλη σκοποῦντα τῶν πραγμάτων, εἶθ᾽ οὕτως αὐτοῖς ἐγχειρεῖν.

Ἄνθρωπος καὶ Κύων.

ΑΝΘΡΩΠΟΣ τις ἡτοίμαζε δεῖπνον, ἑστιάσων τινὰ τῶν φίλων αὐτοῦ καὶ οἰκείων. ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει λέγων, Ὦ φίλε, δεῦρο συνδείπνησόν μοι. ὁ δὲ προσελθὼν, χαίρων ἵστατο, βλέπων τὸ μέγα ἐκεῖνον δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ, βαβαί, πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη. τραφήσομαί τε γὰρ καὶ εἰς κόρον δειπνήσω, ὥστέ με αὔριον μηδαμῆ γε πεινᾶσαι. ταῦτα καθ᾽ ἑαυτὸν λέγοντος τοῦ κυνὸς, καὶ ἅμα σείοντος τὴν κέρκον, ὡς δὴ εἰς τὸν φίλον θαρροῦντος, ὁ μάγειρος ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, κατασχὼν τὰ σκέλη

σκέλη αὐτοῦ ἔῤῥιψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. ὁ δὲ καλῶν, ἀπῄει μεγάλως κράζων. τῶν δέ τις δὲ κυνῶν, τῶν καθ' ὁδὸν αὐτῷ συναντώντων, ἐπηρώτα, Πῶς ἐδείπνησας φίλος; ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη, ἐκ τῆς πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον, οὐδὲ τὴν ὁδὸν αὐτὴν, ὅθεν ἐξῆλθον, οἶδα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς ἐξ ἀλλοτρίων εὐποιεῖν ἐπαγγελλομένοις.

Ξυλευόμενος καὶ Ερμῆς.

ΞΥΛΕΥΟΜΕΝΟΣ τις παρὰ τῷ ποταμῷ τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν· ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ερμῆς δὲ μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν, χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν, ἤρετο. τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμιζε. τοῦ δε μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, Ερμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, πάντας αὐτῷ ἐδωρήσατο. ὁ δὲ παραγενόμενος, πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξελήλυθεν. ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο.

σατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. ἐπιφανεὶς οὖν ὁ Ερμῆς κἀκείνῳ, καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκεν. καὶ ἤρετο εἰ ταύτην ἀπέβαλε. τοῦ δὲ σὺν ἡδονῇ, ναὶ ἀληθῶς, ἤ δ' ἐστὶ φήσαντος, μισήσας ὁ θεὸς τὴν τοιαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

ΕΓΙ-

ΕΠΙΣΤΟΛΑΙ

ΔΙΑΦΟΡΩΝ.

ΕΚ ΤΩΝ ΘΡΥΛΛΟΥΜΕΝΩΝ
Φαλάριδος ἐπιστολῶν.

ΦΑΛΑΡΙΣ ΖΕΥΞΙΠΠΩι.

ΤΩι μὲν υἱῷ σου διὰ τὴν νεότητα συγγινώσκω, σοὶ δὲ διὰ τὸ γῆρας, καίπερ ἀσύγγνωστα πεποιηκόσιν. ἂν μέντοι μὴ παύσησθε τῆς αὐθαδείας, οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σὲ τὸ γῆρας ἐξαιρήσεται. δι' αὐτὰ δὲ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, δι' ἃ νῦν συγγνώμης ἀξιοῦσθε.

ΚΛΕΟΣΤΡΑΤΩι.

ΠΑΝΥ μοι δοκεῖ μετὰ γέλωτος ἄξιον εἶναι θαυμάσαι, τὸ σωφρονίζεσθαί τινας ὑπὸ σοῦ. τὸν γὰρ ἄλλοις ἐπιτιμᾶν ἐπιβαλλόμενον, αὐτὸν ἀπηλλάχθαι χρὴ πάσης πονηρίας· σὺ δὲ ταῖς τῶν ὑπὸ σοῦ νουθετουμένων κακίαις ἔνοχος ὤν, καὶ ταῖς ἄλλαις ἁπάσαις, ὡς ἀνεπίληπτος εἰς πονηρίαν, οὕτω νουθετεῖς.

ΛΑΚΡΙΤΩι.

ΑΧΘΟΜΕΝΩι μέν σοι βαρέως ἐπὶ τῇ τοῦ παιδὸς τελευτῇ, πᾶσα συγγνώμη. κἀγὼ δὲ σφόδρα συμπαθῶ, ὡς εἰς τῶν οἰκείων τὸ συμβεβηκὸς ἡγούμενος, μεῖζον ἄχθομαι· καί τι στερροτέρᾳ φύσει πρὸς τὰ τοιαῦτα χρώμενος, ἀλλὰ τὸ μηδὲν ὄφελος ὁρᾶν μηδέ τις ἀμέτρως ἀνιωμένοις. παραμυθία δὲ ἔστω σοι μεγάλη τῆς ἐπ' αὐτῷ συμφορᾶς· πρῶτον μὲν, ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος ἐν πολέμῳ, σὺν ἀριστείᾳ τέθνηκεν· εἶθ' ὅλη νικῶν, καλλίστου τέλους ὑπὸ τῆς εἱμαρμένης ἠξίωται· τὸ δὲ τελευταῖον, ὅτι μηδὲν ἁμαρτὼν παρὰ τὸν βίον, ἀπεσφράγισται τὴν ἰδίαν ἀρετὴν θανάτῳ. ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς, ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον. αἱ τύχαι γὰρ ἀνθρώπων τὸ πλεῖστον, οὐχ αἱ γνῶμαι κρατοῦσιν. ὁ δὲ τελευτήσας ἀκατηγόρητος, ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται. νομίσας οὖν ἀξίας παρ' αὐτοῦ χάριτας ἀπειληφέναι γενέσεως καὶ ἀνατροφῆς, τὸ καλὸν κἀγαθὸν μέχρι τέλους αὐτὸν γεγονέναι, ταύτην αὐτῷ τὴν ἀμοιβὴν ἀντίδος, τὸ πράως καὶ ἀπαρηγορήτως τὴν ἐπ' αὐτῷ λύπην ἐνεγκεῖν.

ΠΑΥΡΟΛΑι.

ΜΑΛΙΣΤΑ μὲν ἀμφοτέρους τοὺς γονέας, ὦ παῖ, στέργειν σοὶ προσήκει, καὶ ἐπὶ πλείστου ποιεῖσθαι.

σθαι. τοῦτο γὰρ καὶ σεμνὸν, καὶ ἄλλως εὐσεβὲς υἱῷ μεμνῆσθαι τῶν γεγεννηκότων, καὶ τοσαῦτ' εὐεργετησάντων χάριτος· ἐπεί τοι πατρὸς ἀμέλησον μᾶλλον ἢ μητρός. οὐ γὰρ ἀπὸ τῶν ἴσων καὶ ὁμοίων τὰ πατρὸς ἂν εἴη δίκαια πρὸς τέκνων αὔξησιν, καὶ τὰ μητρός. ἀλλ' ἡ μὲν σὺν τῷ κυῆσαι, καὶ γεννῆσαι, καὶ τιθηνῆσαι, μυρίους ἄλλους ἀνέτλησε πόνους· ὁ δ' ἐκτραφέντος ὑπὸ τῆς τεκούσης, καὶ τελειωθέντος, ἀπολαύσεως μετέχειν ἀξιοῖ, δυσκόλου πραχθεὶς οὐδενός. ἰδιαίτερον δὲ τῶν ἄλλων ἡ σὴ μητὴρ διὰ τὰς ἐμὰς φυγὰς περὶ τῆς σῆς κεκοπίακε τελειώσεως, τὰς ὑπὲρ ἀμφοῖν μόνη φροντίδας ὑποστᾶσα. ὥστε καὶ σὺ τὰς εἰς ἑκατέρους τοὺς γονέας εὐχαριστίας, μιᾷ μητρὶ τῇ πάντα πονησάσῃ ἀπόδος. πεπληρώσεται γάρ σοι καὶ τὰ πρὸς τὸν πατέρα δίκαια, διὰ τῶν εἰς τὴν μητέρα φιλανθρώπων. οὐδὲν γὰρ ἀπαιτήσω πλεῖον εἰς ἐμαυτὸν, ἂν εἰς ταύτην εὐσεβήσῃς. μᾶλλον δὲ καὶ προσειληφέναι παρὰ σοῦ πολὺ μέρος εὐεργεσίας ὁμολογήσω. πρέπει γάρ σοι μητρὶ χάριν περὶ πολλῶν ἀποδιδόντι, μεγάλης εὐεργεσίας ἀρχὴν κτήσασθαι πρὸς πατέρα.

ΤΩΙ ΑΥΤΩΙ.

ΤΑ μὲν παρὰ πατρὸς υἱὸν ἔσχηκας δίκαια Παυρόλα. τὰ δὲ ἐκ σοῦ πατρὶ δυνάμενος, οὐκ αὐτὸ παρέχων, ἁμαρτάνεις. πυνθάνομαι γάρ σε παι-

δείας, ὃ πολλάκις ἐμεμψάμην, οὐκ ἐπιμελεῖσθαι. ἄλλων δὲ χάριν οὐκ ἐπιζητῶ λαβεῖν παρὰ σοῦ, ταύτης ὑστερήσας. ἴσθι δὲ, ὅτι καὶ τὸ παιδείας συμφέρον, ἐὰν χαρίσασθαι βουληθῇς, οὐχ ὁ ληψόμενος τὴν χάριν, ἀλλ' ὁ δώσων μᾶλλον καθέξει.

ΑΝΤΙΜΑΧΩι.

ΕΙ μὲν ἔχων οὐκ ἀποδίδως τὸ δάνειον, ἑκὼν εἶ πονηρός· εἰ δ' οὐκ ἔχων, ἀδικεῖς μὲν, τὸ δὲ ἀκούσιον παρὰ τοῖς ἀνθρωπίνοις λογιζομένοις, συγγνώμης ἀξιοῦται. ἡ δὲ συγγνώμη, γίνωσκε ὅτι μέλλησίς ἐστιν ἀπολήψεως, οὐ παντελὴς χρημάτων ἀπόγνωσις.

ΜΕΓΑΡΕΥΣΙΝ.

ΟΥΧ ἐλπίζων παρ' ὑμῶν ἀπολήψεσθαι χάριν, τὰς τριήρεις ὑμῶν ἁλούσας μεθῆκα, προφανῶς κατ' ἐμοῦ πλεύσας. εἰ γὰρ ἐμνημονεύετε χάριτος, οὐκ ἂν ἐπελάθεσθε, ὅτι πρότερον τρὶς ὑμᾶς ἀποθνήσκοντας ἐν σιτοδείᾳ σέσωκα.

ΑΡΙΣΤΑΙΝΕΤΩι.

ΟΥ λυπεῖ με τὸ γῆρας. οὐ γὰρ ἡ τῆς τυραννίδος ἰσχὺς γεγήρακεν, ἀλλὰ Φάλαρις. λυπεῖς δέ με σὺ, λίαν ὑπερφοβούμενός μου. τὸ γὰρ εἱμαρμένον ἥξει, κἂν Ἀρισταίνετος μᾶλλον ἢ δεῖ φοβηθῇ.

Πολλῷ δὲ κρεῖττόν ἐστι, μὴ δεδοικότα
Παθεῖν τὸ μέλλον δεινὸν, ἢ δεδοικότα·

ἵνα σοὶ καὶ μετὰ παραδειγμάτων ποιητικῶν ἐπιστέλλω.

ΕΠΙ-

ΕΠΙΧΑΡΜΩι.

ΑΡΚΕΙΣ μόνος δικαίους ἡμᾶς νομίζων, κἂν μηδεὶς ἄλλος λέγοντί σοι πείθηται. εἷς γὰρ ἀνὴρ ἐμοὶ πιστὸς, ἁπάσης ἐστὶ Σικελίας μέτρον· τὸ δὲ ἀνεξέταστον πλῆθος, ἐρημίας ὑπειλήφαμεν ἀναπλήρωμα. ὑφ' οὗ καὶ τὸ ἀγνοεῖσθαι καὶ μὴ χρηστοτέρους δοκεῖν οὐκ ἐσμὲν, τάχα οὐκ ἀνωφελές· πολλοὺς μὲν ἔχεις ὁμοίους σεαυτῷ. τὴν γὰρ ἀρετὴν τῶν ὄντων, οὐ τὸν ἀριθμὸν σκοπούμεθα, μεθ' ὧν ἔγνωκας ἡμᾶς καλοὺς κἀγαθούς· εἰ μέν τοι καὶ μόνος ἦσθα, ἐπλουτοῦμεν μαρτύρων, καὶ πλειόνων οὐ προσεδεόμεθα ἐπαίνων.

ΑΞΙΟΧΩι.

ΣΕΜΝΥΝΕΣΘΑΙ μὲν ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν, καὶ ἐπ' εὐγενείᾳ εἰκός ἐστιν. ἐγὼ δὲ μίαν εὐγένειαν, ἀρετὴν οἶδα· τὰ δ' ἄλλα πάντα τύχην. καὶ γένοιτ' ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων εὐγενέστατος· ὁ δὲ ἐξ ἀγαθῶν φαῦλος, αὐτός τε ἑαυτοῦ καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε ψυχῆς ἔπαινον αὔχει πρὸς Συρακουσίους, μὴ προγόνων τεθνηκυῖαν ἐν ἀδοξοτέροις διαδόχοις εὐγένειαν.

ΤΙΜΟΛΑΩι.

ΤΟ μηδὲν ἁμαρτάνειν, εἰκότως ἴσως καὶ δικαίως θεοῦ νομίζεται· τὸ δὲ ἁμαρτόντα, τούτῳ αὐτῷ πρὸς τὸ μέλλον σεσωφρονίσθαι, ἀνθρώπου. τὸ μέν-

τοι μηδὲ πταίσαντα καὶ ἀτυχήσαντα πεφυλάχθαι, οὐκ οἶδα ἄλλου τινὸς ὑπολειφθῆναι δυνάμενος, ἢ κακοῦ. αἰσχρὸν οὖν (ἔτι γὰρ ἔργον προσελευσόμεθα) ἑτέροις παράδειγμα τῆς ἀβουλίας γινόμενον, αὐτὸν ἑαυτῷ μηδ' ἐκ τῆς οἰκείας συμφορᾶς χρήσιμον γενέσθαι.

ΛΥΣΑΝΔΡΩι.

ΕΦΘΑΚΑΜΕΝ τὴν παρὰ σοῦ πεμπομένην συμμαχίαν. Πρὶν γὰρ ἐλθεῖν τοὺς παρὰ Εὐκλείδου στρατιώτας, εἴδομεν τοὺς πολεμίους· ὥσθ' ἡμᾶς εἰς μὲν τὴν μάχην, ὑπὸ τῶν μισθοφόρων ὑστερησάντων, μηδ' ὁτιοῦν ὀνηθῆναι· εἰς δὲ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, πλεῖστον. εἰς ὀλίγους γὰρ ἡμῶν τοὺς ἀγωνισαμένους, οὐκ εἰς ἅπαντας ἡ νίκη ἀνάκειται· κινδύνων δὲ μειζόνων μετασχόντες, ἐπάθλων λαμπροτέρων ἐτύχομεν.

ΑΡΙΜΑΧΩι.

ΟΥΧ ἀχθόμεθα τῆς διαβολῆς, οὐδὲ τῆς δόξης, ἣς ἔχουσιν ἐπ' ἐμοὶ οἱ νῦν ἄνθρωποι. ἰδὼν γὰρ ἐν ἴσῳ τῷ ἀδικεῖν, μᾶλλον δὲ πολλῷ δικαιότερον ἤδη τοῦ δικαίου νενομισμένον τὸ ἄδικον, τοῦτον ἀπέχω τοῦ ἐπικρύπτεσθαι, ὥστε ἐπ' αὐτοῖς παῤῥησιάζεσθαι, ὅτι τοῖς μὲν ἄλλοις φύσει τοιούτοις, ἐμοὶ δὲ ἀνάγκη γενέσθαι συμβέβηκεν. φημὶ γὰρ καὶ ἡμῖν τὰ παράνομα προσγεγενῆσθαι πάθη, καὶ τοῖς ἄλλοις ἅπασι τὸ αὐτὸ ἔμφυτον εἶναι. διαφέρει δὲ ἐνὶ τούτων, ὅτι ἡμεῖς μὲν

τύραν-

τύραννον δοξασθέντες, ἔχοντες ἐξουσίαν ὁμολογοῦμεν· ἐκεῖνοι δὲ ἰδιῶται ὄντες, παρόσον δεδίασι δίκην δοῦναι ἀδικοῦντες.

ΕΝΝΑΙΟΙΣ.

ΕΓΩ οἶμαι μὲν γὰρ τῆς ἐλευθερίας ἐμαυτὸν αἴτιον ὑμῖν γεγονέναι, ἀλλὰ ἐπὶ μὲν τῆς ἐλευθερίας, οὐ μέμφομαι ὑμῖν ἀχαρίστοις οὖσι, τὸ μέντοι ἀργύριον ὃ ἐδανείσασθε, ἀπόδοτε. καὶ γὰρ αὐτὸς ἐν χρείᾳ εἰμὶ οὐ μετρίᾳ, καὶ περιπέμπω χρήματα δανειζόμενος εἰς ἅπασαν Σικελίαν. καὶ οἱ μὲν ἐχαρίσαντο ἡμῖν ὥσπερ Λεοντῖνοι, καὶ Γελῷοι· οἱ δὲ ὑπέσχηνται δανείσειν, ὡς Ταλαῖοι καὶ Φιντιεῖς. τί ἂν οὖν πρὸς Διὸς αὐτοὶ ὑπολάβοιτε ἐπὶ αὐτῶν, τηνικαῦτα ἃ δεδάνεισθε μὴ ἀποδιδόντες, ὁπότε ἄλλοι χαρίζονται τὰ αὐτῶν, μηδὲν ἀγαθὸν ὑφ᾽ ἡμῶν πεπονθότες; εἰ δὲ πύθοιντο ὑπεσχημένοι χαρίσασθαι, ὅτι αὐτοὶ τοῦ κομίζεσθαι τὰ ὀφειλόμενα, τοῖς μηδὲν ὀφείλουσι βαρεῖς ἐσμὲν, ἆρ᾽ ἔτι δώσειν οἴεσθε αὐτοὺς; ἐγὼ μὲν γὰρ οἶμαι, μηδὲ τοὺς δανείσειν ὑπεσχημένους, δανείσειν ἔτι· ἀλλ᾽ ἐνθυμηθήσεσθαι, ὅτι ὁ μὴ ἀναπραξόμενος τὰ αὐτοῦ παρὰ τῶν ὀφειλόντων, οὗτος ἀποτίνειν τοῖς δανείσασιν οὐ βουλήσεται. ταῦτα τοίνυν ἐνθυμηθέντες, εἰ μὴ ἀποτίνητε, αἰδέσθητε· εἰ δὲ μὴ ταῦτα ἀνύσειν, εὖ ἴστε, ὅτι εὑρήσομεν, ὃ ἐπαναγκάσει ὑμᾶς, εἴπερ οἷόν τε ἐπαναγκαζομένους τὰ δίκαια ποιεῖν ἐστίν.

ΕΚ ΤΩΝ ΒΡΟΥΤΟΥ

ΕΠΙΣΤΟΛΩΝ.

ΒΡΟΥΤΟΣ ΠΕΡΓΑΜΗΝΟΙΣ.

ΑΚΟΥΩ ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα. ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν με· εἰ δὲ ἄκοντες, ἀποδείξατε, τῷ ἐμοὶ ἑκόντες δοῦναι.

ΠΕΡΓΑΜΗΝΟΙ ΒΡΟΥΤΩι.

ΧΡΗΜΑΤΑ Δολοβέλλᾳ μὲν, ἔτι ἀπορουντες, ἐβιάσθημεν παρασχεῖν· σὺ δὲ ἡμᾶς δοῦναι θέλοντας ᾔτηκας, ὅτε δυσπλήρωτον ἐν ἀπορίᾳ τὸ πρόθυμον.

ΒΡΟΥΤΟΣ ΠΕΡΓΑΜΗΝΟΙΣ.

ΤΑ χρήματα ἡμῖν εἰς ὃν ἐπετάξαμεν καιρὸν μὴ πέμψαντες, οὐδὲν ἄλλο εἰ μὴ τὸ δοκεῖν μετὰ τοῦ βεβιάσθαι ταῦτα παρασχεῖν ὠφέλησθε. ὥστε διχόθεν ὑμᾶς βεβλάφθαι, καὶ τῷ τὰ ἀναλώματα κατ᾽ ἴσον ὑπομεῖναι (δώσετε γὰρ τοσούτῳ κάκιον, ὅσῳ περ ἄκοντες) καὶ τῷ, ἣν εἰκὸς ἀντὶ τῶν ὑπουργηθέντων φέρεσθαι χάριν ὑμᾶς, ἀφῃρῆσθαι. οὐ γὰρ χρὴ τὴν τῶν προθύμων ὑπηκόων παῤῥησίαν νέμεσθαι τοὺς οὐκ ἂν, εἰ μὴ μετ᾽ ἀνάγκης, ταῦθ᾽ ἡμῖν παρασχόντας.

ΠΕΡΓΑΜΗΝΟΙ ΒΡΟΥΤΩι.

ΕΙ ῥᾴδιος ὁ πορισμὸς ἦν, οὐκ ἂν περιεμείναμεν

μεν βραδυτῆτι διαβαλεῖν τὴν χάριν. (τί γὰρ δὴ ὄφελος τοῖς κἂν ἀρνήσωνται βιασθησομένοις, ἐὰν μετὰ μελλήσεως ἀμφότερα ζημιωθῶσι, καὶ διδόντες τὸ ἀνάλωμα, καὶ τὴν ἀμοιβὴν ἀπολέσοντες;) ἀλλ᾽ ἴσθι ὅτι τὸ μὲν τάχος, προαιρέσεως ἔργον ἐστίν· ὁ δὲ χρόνος, προθυμίας ἐκνικηθείσης βιαζομένης ἀπορίαν. οὐ δὴ δίκαιον τὴν τῶν παρὰ δύναμιν ἐπεκτανθέντων κακοπραγίαν ἔλαττον φέρεσθαι τῶν οὐκ αὖ, εἰ μὴ ὑπὸ ἀπορίας, τυχωνόντων.

BΡΟΥΤΟΣ ΠΕΡΓΑΜΗΝΟΙΣ.

ΤΑ χρήματα ὑμῶν ἐκόμισαν οἱ πρέσβεις, ὡς μὲν πρὸς ἣν ᾐτιᾶσθε ἀσθένειαν, πλείω· ὡς δὲ πρὸς ἣν ᾐτούμεθα χρείαν, ὀλίγα. φυλάττεσθε οὖν μὴ καὶ δύνησθε πλεῖον οὗ προσποιεῖσθε, καὶ βούλησθε ἔλαττον οὗ δύνασθε.

ΠΕΡΓΑΜΗΝΟΙ ΒΡΟΥΤΩι.

ΕΠΕΜΨΑΜΕΝ σοι χρήματα, εἰ καὶ τῆς σῆς ἐλάττονα χρείας, ἀλλ᾽ οὖν τῆς ἑαυτῶν ὑπο σχέσεως πλείονα. παρῃτούμεθα μὲν γὰρ, ὡς μικρότερα ἢ βουλόμεθα ἔχοντες· ἐπορίσαμεν δὲ, ὡς πλεῖον ἢ δυνάμεθα προσδώσοντες.

ΒΡΟΥΤΟΣ ΡΟΔΙΟΙΣ.

ΞΑΝΘΙΟΥΣ ἀποστάντας χειρωσάμενοι, ἤδη σχεδὸν ἀπεσφάξαμεν, τήν τε πόλιν κατεπρήσαμεν· Παταρεῦσι δὲ προσθεμένοις ἡμῖν, τῶν τε φόρων ἄφεσιν ἐδώκαμεν, ἐλευθέρους καὶ αὐτονόμους αὐ-

τοὺς εἶναι συγχωρήσαντες· εἰς ἐπισκευὴν τε τῶν ὑπὸ τοῦ χρόνου καταλελυμένων παρ᾽ αὐτοῖς, πεντήκοντα τάλαντα ἐχαρισάμεθα. ὑμῖν οὖν βουλομένοις περὶ ἑαυτῶν, πάρεστιν ὁρᾶν ὄψει, εἴτε χρὴ πολεμίους ἡμᾶς, ὥσπερ Ξάνθιοι, εἴτε φίλους καὶ εὐεργέτας, ὃν τρόπον Παταρεῖς, αἱρεῖσθαι:

ΡΟΔΙΟΙ ΒΡΟΥΤΩι.

ΟΥΚ εἰ σὺ βαρέως τοῖς ἐλευθερίασασι Ξανθίων περιηνέχθης, ἤδη καὶ ἡμεῖς τοὺς ἐπὶ δουλείᾳ δεκαθέντας μιμησόμεθα Παταρεῖς· ἀλλ᾽ ἐκείνων μὲν ἀπευξάμενοι τὴν τύχην, πειρασόμεθα τῆς εὐψυχίας ἔχεσθαι· τούτους δὲ μεμψάμενοι τῆς γνώμης, οὐ ζηλώσομεν τῶν ἀπὸ σοῦ λημμάτων· ἐνδοξοτέραν ἡγούμενοι τὴν μετὰ κινδύνων ἐλευθερίαν, τῆς ἐπὶ τῷ κερδαίνειν αὐτομολίας.

ΒΡΟΥΤΟΣ ΚΩΟΙΣ.

ΡΟΔΟΣ μὲν ἤδη δεδούλωται Κασσίῳ, πόλις αὐθαδέστερον αἰσθομένη τῆς οἰκείας ἰσχύος μᾶλλον ἢ βεβαιότερον· Λυκία δὲ ἡμῖν ὑπήκοος πᾶσα· ἡ μὲν, πολέμῳ καμοῦσα, ἡ δὲ ἐκ τῆς ἀνάγκης ὠφελημένη τὸ ἀβίαστον ἑκόντες γὰρ εἵλοντο ἃ μετ᾽ οὐ πολὺ ἔμελλον μὴ βουλόμενοι. καὶ ὑμεῖς οὖν αἱρεῖσθε, ἢ πολέμῳ βιασθέντες, δοῦλοι, ἢ ἑκουσίως ἡμᾶς δεξάμενοι, φίλοι γενέσθαι.

ΚΩΟΙ ΒΡΟΥΤΩι.

ΟΥΤΕ ἡ Ροδίων ἅλωσις ἐξέπληξεν αὖ ἡμᾶς,

μὴ τὰ σὰ φρονοῦντας, οὔτε ἡ Λυκίων δυσπραξία μετὰ κολακείας ἔπαυσεν. ἐλπὶς γὰρ καὶ φόβος, ἐν φίλοις μὲν ἀξιόπιστα· ἐν δὲ τοῖς ἀλλοτριουμένοις, εὐκαταφρόνητα. ἀλλ᾽ ἡμεῖς ἄνωθέν σοι προσχωροῦντες, καθ᾽ ἓν ἀχθόμεθα, εἴγε δόξαμεν ἢ ἀπειλῆς ὑποσχέσεως γεγονέναι κτῆμα. ἔχεις οὖν ἡμᾶς ὑπόδειγμα φιλίας πρὸς ἄλλους μᾶλλον, ἢ ἑτέρων ἐφ᾽ ἡμᾶς προσδέου.

ΒΡΟΥΤΟΣ ΠΑΤΑΡΕΥΣΙΝ.

ΔΑΜΑΣΙΠΠΟΝ Ῥοδίων ναύαρχον, μετὰ τὴν Ῥοδίων ἅλωσιν φυγόντα, μετὰ δυεῖν καταφράκτων ἐπυθόμην παρ᾽ Ἑρμοδώρου τοῦ Σαμίου ἐμπόρου πεφηνέναι ἐν τῷ μεγίστῳ ὑμετέρῳ λιμένι. κατασχεθῆναι μὲν οὖν αὐτὸν ἐκεῖσε, οὐδὲν ἁμάρτημα ὑμέτερον ἡγοῦμαι εἶναι· καταχθέντα δὲ εἰ περαιτέρω ποι τῆς ὑμῶν ἀποδράναι ἐάσετε, καὶ ἀδικίας καὶ ἀνανδρίας ὑμῶν καταγνώσομαι.

ΠΑΤΑΡΕΙΣ ΒΡΟΥΤΩι.

ΕΙ θᾶττον ἡμῖν Ἑρμόδωρος ἢ σοὶ περὶ τοῦ ναυάρχου προσήγγειλεν, οὐκ ἄν, ὥσπερ εἰσπλεύσας ἔλαθε Δαμάσιππος, οὕτω δὴ καὶ ἀπαίρων διέφυγεν· ἀλλὰ μέρος ἂν τῆς Ῥοδίων ἁλώσεως ἐγένετο. νυνὶ δὲ σύγγνωθι τῷ τέλει τῆς ἀγνοίας, ἧς ὑποτίμησιν ἐπὶ τὴν ἀρχὴν δέδωκας. οὔτε γὰρ ἀδικίας ἔργον τὸ λαθόντα καταδέξασθαι, οὔτε ἀσθενείας,

νείας, τὸ ἐκδιδράσκοντα ἀγνοῆσαι.

ΔΑΜΑι ΒΡΟΥΤΟΣ.

ΟΠΛΩΝ καὶ χρημάτων χρεία· ἢ πέμπε, ἢ ἀπόφαινε.

ΔΑΜΑΣ ΒΡΟΥΤΩι.

ΕΥΠΟΡΟΥΝΤΩΝ ἔργον, τὸ πέμψαι· πενομένων δὲ, τὸ ἀποφαίνεσθαι.

ΒΡΟΥΤΟΣ ΜΙΛΗΣΙΟΙΣ.

ΕΙ μὲν ἔστιν ὑμῖν ὅπλα ἐν κοινῷ, μὴ χρώμενοι τούτοις, ἁμαρτάνετε. μία γὰρ ἰσχὺς ὅπλων, τὸ χρῆσθαι. εἰ δὲ καὶ τῆς κατασκευῆς αὐτῶν ἀμελεῖτε, μεμφθέντες ἂν εἰ καὶ ἔχοντες μὴ ἐχρῆσθε, πόσῳ μεμπτότεροι μηδὲ ἔχοντες;

ΜΙΛΗΣΙΟΙ ΠΡΟΣ ΤΑΥΤΑ.

ΟΥ τὰ ὅπλα ἰσχὺς ἀνδρῶν, ἀλλὰ τῶν ὅπλων οἱ ἄνδρες. ἐκεῖνα μὲν γὰρ δίχα τῶνδε ἄπρακτα, οἱ δὲ καὶ πορίσαι αὐτὰ καὶ χρήσασθαι αὐτοῖς δύνανται. οὔτε οὖν εἰ ἄπεστιν ὅπλα, ἐνδεῖ τοῖς πορίσαι αὐτὰ δυναμένοις, οὔτε χρήσιμα τυγχάνει τοῖς, κἂν ἔχωσι, χρῆσθαι μὴ δυναμένοις.

ΒΡΟΥΤΟΣ ΒΙΘΥΝΟΙΣ.

ΑΙ βουλαὶ ὑμῶν, ὀλίγωροι· αἱ ὑπουργίαι, βραδεῖαι. τί τὸ τέλος τούτων ἐννοεῖσθε.

ΒΙΘΥΝΟΙ ΠΡΟΣ ΤΑΥΤΑ.

ΒΟΥΛΕΥΕΣΘΑΙ μὲν ὀκνηρῶς, ἀσφάλεια· ὑπουργεῖν δὲ βραδέως, ἀσθένεια. τούτων ἀμφοτέρων ἓν τέλος συγγνώμη.

ΕΚ ΤΩΝ ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ἐπιστολῶν.

ΛΙΒΑΝΙΩι.

ΕΠΕΙΔΗ τῆς ὑποσχέσεως ἐπελάθου· τρίτη γοῦν ἐστὶ σήμερον, καὶ ὁ φιλόσοφος Πρίσκος αὐτὸς μὲν οὐκ ἧκε, γράμματα δ' ἀπέστειλεν ὡς ἔτι χρονίζων· ὑπομιμνήσκω σε τὸ χρέος ἀπαιτῶν. ὄφλημα δέ ἐστιν, ὡς οἶσθα, σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον, ἐμοὶ δὲ ἥδιστον πάνυ κομίσασθαι. πέμπε δὴ τὸν λόγον, καὶ τὴν ἱερὰν συμβουλὴν, ἀλλὰ πρὸς Ἑρμοῦ καὶ Μούσης, ταχέως. ἀλλὰ καὶ τούτων με τῶν τριῶν ἡμερῶν ἴσθι συντρίψας, εἴπερ ἀληθῆ φησιν ὁ Σικελιώτης ποιητὴς, ἐν ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν. εἰ δὲ ταῦτά ἐστιν, ὥσπερ οὖν ἐστὶ, τὸ γῆρας ἡμῖν ἐτριπλασίασας, ὦ γενναῖε. ταῦτα μεταξὺ τοῦ πράττειν ὑπηγόρευσά σοι, γράφειν γὰρ οὐχ οἷός τε ἤμην, ἀργοτέραν ἔχων τῆς γλώττης τὴν χεῖρα. καί μοι καὶ τὴν γλῶτταν εἶναι συμβέβηκεν ἀπὸ τῆς ἀνασκησίας ἀργοτέραν καὶ ἀδιάρθρωτον. ἔρρωσό μοι ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

ΙΟΥΛ. ΘΕΟΔΩΡΑι ΤΗι αἰδεσιμωτάτῃ.

ΤΑ πεμφθέντα παρὰ σοῦ βιβλία πάντα ὑπεδεξάμην, καὶ τὰς ἐπιστολὰς ἄσμενος διὰ τοῦ βελτίστου Μυγδονίου. καὶ μόγις ἄγων σχολήν· ὡς ἴσασιν οἱ θεοὶ οὐ κακιζομένην λόγῳ· ταῦτα ἀντίγραψα πρὸς σε. σὺ δ' εὐπράττοις, καὶ γράφοις ἀεὶ τοιαῦτα.

ΛΙΒΑΝΙΩι.

ΑΝΕΓΝΩΝ χθὲς τὸν λόγον περὶ ἀρίστου σχεδόν· ἀριστήσας δὲ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὦ λόγος, ὦ φρένες, ὦ σύνεσις, ὦ διαίρεσις, ὦ ἐπιχειρήματα, ὦ τάξις, ὦ ἀφορμαὶ, ὦ λέξις, ὦ ἁρμονία, ὦ συνθήκη.

ΜΑΞΙΜΩι φιλοσόφῳ.

ΑΛΕΞΑΝΔΡΟΝ μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτα καὶ μεθ' ἡμέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν· ἡμεῖς δέ σου ταῖς ἐπιστολαῖς, ὥσπερ παιωνείοις τισὶ φαρμάκοις συγκαθεύδομεν, καὶ οὐ διαλείπομεν ἐντυγχάνοντες ἀεὶ, καθάπερ νεαραῖς ἔτι καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις. εἴπερ

σοῦ

σοῦ ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων· μᾶλλον δ' ἧκε σὺν θεοῖς, ἐνθυμούμενος ὡς ἡμῖν γ' ἕως ἂν ἀπῇς, οὐδ' ὅτι ζῶμεν εἰπεῖν ἐστὶν, ἢ ὅτε μόνον τοῖς παρά σου γραφομένοις ἐντυχεῖν ἔξεστιν.

ΤΩι ΑΥΤΩι.

Ο μὲν μῦθος ποιεῖ τὸν ἀετὸν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπιλα πρὸς τὸν αἰθέρα, καὶ ταῖς ἡλίου προσάγειν ἀκτῖσιν, ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ πατέρα τε ἀληθῶς νεοττοῦ γιγνόμενον, καὶ νόθον γονῆς ἀλλοτριούμενον· ἡμεῖς δέ σοι καθάπερ Ἑρμῇ λογίῳ τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν. κἂν μὲν ὑπομείνωσι τὴν ἀκοὴν τὴν σὴν, ἐπεί σοι τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ χρήσιμοι· εἰ δὲ μὴ, ῥίψον ἐκεῖ καθάπερ Μυσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον ὡς νόθους. πάντως οὐδὲ ὁ Ῥῆνος ἀδικεῖ τοὺς Κελτοὺς, ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων. ὅσα δ' ἂν ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεράνω τοῦ ὕδατος αἰωρεῖ, καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων γάμων τὴν τοῦ παιδὸς σωτηρίαν ἀντιδωρούμενος.

ΝΟΜΟΣ ΠΕΡΙ ΤΩΝ ΙΑΤΡΩΝ.

ΤΗΝ ἰατρικὴν ἐπιστήμην σωτηριώδη τοῖς ἀνθρώποις τυγχάνειν, τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πεφοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι. τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως, καὶ τὰ τῶν ἐπισυμβαινόντων ἀῤῥωστημάτων ἐπανορθοῦται διὰ ταύτης. καὶ γὰρ κατὰ τὸν τοῦ δικαίου λογισμὸν, συνῳδὰ τοῖς ἄνωθεν βασιλεῦσι θεσπίζοντες, ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνενοχλήτους ὑμᾶς τοὺς λοιποὺς χρόνους διάγειν.

ΓΡΗΓΟΡΙΩι ΗΓΕΜΟΝΙ.

ΕΜΟΙ καὶ γράμμα παρὰ σοῦ μικρὸν, ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μνηστεῦσαι. καὶ τοίνυν οἷς ἔγραψας λίαν ἡσθεὶς, ἀντιδίδωμι καὶ αὐτὸς τὴν ἴσην, οὐ τῷ τῶν ἐπιστολῶν μήκει μᾶλλον, ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκλείνεσθαι δεῖν κρίνων.

ΛΟΥΚΙΑΝΩι ΣΟΦΙΣΤΗι.

ΓΡΑΦΩ, καὶ ἀντιτυχεῖν ἀξιῶ τῶν ἴσων. εἰ δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι τῶν ὁμοίων παθῶν.

ΕΚ ΤΩΝ ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΤΟΛΩΝ.

ΙΩΑΝΝΗι.

ΑΦΟΒΙΑ μεγίστη, τὸ φοβεῖσθαι τοὺς νόμους· σὺ δὲ αὐτοὺς ἠσχύνθης ἀεὶ φανῆναι φοβούμενος. τοιγαροῦν δέδιθι τοὺς ἐχθροὺς, καὶ μετὰ τούτων τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι. κἂν κλέπτωσι μὲν, μὴ σὺ δὲ ἧς ὁ τὰ πλείω διδοὺς, οὐδὲν ἧττον ἀπολαβητέον. ὀργίζονται γὰρ ὑπὲρ τῶν νόμων ὅταν καὶ μισθοδοσίας περιλάβωσιν.

ΘΕΟΦΙΛΩι.

ΒΑΘΥ σε γῆρας καὶ λιπαρὸν περιμένοιεν, ἁγιώτατε καὶ σοφώτατε. τά τε γὰρ ἄλλα τῷ βίῳ κέρδος ἂν εἴης σωζόμενος, καὶ μεγίστη προσθήκη τῷ διδασκαλείῳ τοῦ Χριστοῦ γίνεται, ὁ τῶν πανηγυρικῶν βιβλίων ἀριθμὸς, τοῖς ἐνιαυτοῖς συναυξανόμενος. ὥς ὅγε τῆτες καταπεμφθεὶς λόγος, καὶ ἥσε τὰς πόλεις, καὶ ὤνησε· τὸ μὲν, μεγέθει τῶν νοημάτων· τὸ δὲ, τῶν ὀνομάτων τῇ χάριτι.

ΔΙΟΓΕΝΕΙ.

ΤΟΙΟΥΤΟΝ ἐστιν ἡ Σύρων τρυφή· καὶ συγγενῶν καὶ φίλων ἐπιλήσμονας ἀποδείκνυσι. μίαν γὰρ οὑτοσὶ πέμπτος ἀφ' οὗ γράμμασιν ἡμᾶς οὐκ ἠσπάσω· καὶ ταῦτα, δούσης σοι τῆς φύσεως οὐ μόνον

πρὸς

πρὸς χρείαν, ἀλλὰ καὶ πρὸς ἔνδειξιν καὶ φιλοτιμίαν, ὑπαγορεύειν ἐπιστολάς· ἀλλ' αὖ αὐτὸς ὑγιαίνῃς, καὶ τὰ χρυσᾶ παιδία, καὶ ἡ καλλίπαις μήτηρ αὐτῶν, ἡμῖν καὶ τοῦτο ἅλις ἔχει.

ΗΛΙΟΔΩΡΩι.

ΕΜΟΙ μὲν συμπρέπουσι τοῖς ἐνιαυτοῖς, καὶ ἡ τοῦ φίλτρου προσθήκη. σὺ δὲ εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄγεις σχολὴν ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου γράμμασι τιμᾶν, ὡς εἰκὸς, ἅπαξ ποτὲ, καὶ οὐς εἰκὸς, κλέψας σαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρκέσαι πρὸς μέτρον ἐπιστολῆς, αὐτὸ τοῦτο μήνυσον. εἰ δὲ ἀπογινώσκεις ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθωσαι μετανοίᾳ, καὶ σαυτὸν ἡμῖν ἐπανάγαγε.

ΤΡΩΙΑΩι.

ΑΛΛ' εἰ μήτε Κυρηναῖοι, μήθ' αἱ πόλεις ἀσυντάκτων ἀποτίσουσί σοι χάριν ἀξίαν, ἀνθ' ὧν ὁ θαυμάσιος Ἀναστάσιος αὐταῖς γράφει, πάντως γε ἡ τοῦ Θεοῦ σοι προσέσται χάρις, ᾧ σαυτὸν οἰκειοῖς τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. εὐδαιμονοίης ἄριστε φιλοσόφων. οὕτω γάρ ἐμοί σε φίλον καλεῖν, ὥσπερ ὑπαγορεύει τὰ πράγματα.

ΚΩΝΣΤΑΝΤΙ.

ΕΙ δὲ φιλοσοφίας ἡμᾶς ἀρετὴν, οὐ μόνον ἐν παροῦσι τοῖς μετασχοῦσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς

ἀποῦσι

ἀποδῶσι τιμήσεις. ὁ δὲ θεσπέσιος Ἀμμωνιανὸς, ὁ παρ' ἡμῖν ποτὲ τυχὼν ἀμείνονος λήξεως, ἐμοὶ δοκεῖ, πάρεστι καὶ ἀπαιτεῖ δίκην. τούτου συγγενῆ σφόδρα αὐτανέψιον ὁ παρ' ὑμῖν Σωτήριχος ἀδικεῖ. δεῖξον ὅτι καὶ δὴ Διονυσίου, καὶ πεπαύσεται Σωτήριχος ἀδικῶν.

ΣΙΜΠΛΙΚΙΩι.

ΑΦΙΕΝΑΙ φησὶ δεῖν ὁ Θεὸς τὰ ὀφειλήματα. ὀφείλει δὲ ὁ μέν τις δάνεισμα χρυσίου· ὁ δὲ, τὸ δοῦναι δίκην, καὶ ὁ τοῦ λαβεῖν οὖν δίκην ὑπερειδὼν, ὑπήκουσε τοῦ Θεοῦ.

ΠΕΝΤΑΔΙΩι ΑΥΓΟΥΣΤΑΛΙΩι.

ΕΓΩ καὶ σοῦ κήδομαι καὶ τοῦδε. σοῦ μὲν, ὡς μὴ ἀδικοίης· τοῦδε δὲ, ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καί σοι δοκεῖ, μετὰ τοῦ Πλάτωνος, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακὸν, ἔοικά σοι μᾶλλον ἢ τῷδε χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ παρατιλομένου δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτεν.

ΤΗι ΦΙΛΟΣΟΦΩι.

ΗΧΟΥΣ ἔοικα πρᾶγμα ποιεῖν· ἃς παρείληφα φωνὰς ἀντιδίδωμι, τὸν θαυμαστὸν Ἀλέξανδρον ἐπαινῶν παρά σοι.

ΚΛΗΔΟΝΙΩι.

ΣΥΓΓΕΝΗΣ ἐμὸς ἀδικεῖται· σὺ δὲ καὶ φίλος εἶ καὶ δικάζειν ἔλαχες. ἐκ μιᾶς οὖν προσοχῆς ὑπάρξει σοὶ κἀμοὶ καὶ τοῖς νόμοις χαρίσασθαι. ἐπανίτω τοίνυν Ἀσφάλιος εἰς τὸ δεσπότης εἶναι

τῶν κεραμίων, τῇ τοῦ πατρὸς διαθήκῃ προσλαβὼν τὴν ἀπόφασιν, τῆς κατηγορίας οὐκ ἐσομένης ἐμποδὼν τῷ παραυτίκα τῆς ἀκροάσεως. πότε γὰρ δεῖ δικαιοδοτεῖν, ἢ τὸν χρόνον ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ θεοῦ;

ΟΛΥΜΠΙΩι.

ΛΥΠΟΥΣΙ τὴν ἐκκλησίαν ἀλλότριοι πονηροί. διάβηθι κατ' αὐτῶν. οἱ πάτταλοι γὰρ παττάλοις ἐκκρούονται.

ΙΩΑΝΝΗι.

ΧΡΗΣΘΑΙ δεῖ ταῖς τῶν δυνατῶν φιλίαις, οὐ καταχρῆσθαι.

ΤΩι ΑΥΤΩι.

ΜΗ αἴτει μεγάλα· ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.

ΤΩι ΑΔΕΛΦΩι.

ΤΙΝΑ μέντοι ἵνα παρὰ τῶν, οἷος αὐτὸς εἶ, προσήκει θαυμάζεσθαι; τὸν σώφρονα, τὸν ἐμμελῆ, τὸν παιδείας ἑταῖρον, τὸν προσανέχοντα θεῷ. καθάπαξ, τὸν οἷός ἐστι Γερόντιος. ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς· ὡς χρησάμενος, ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

ΤΩι ΑΥΤΩι.

ΜΗΚΟΣ ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ' ὁ θαυμαστὸς Γερόντιος οἶδε μὲν ὅσα κἀγώ· εἰ δὲ μὴ πρὸς τὸ ψεῦδος ἀνοικείως εἶχε,

εἶχε, διηγήσατο ἂν καὶ ὧν ἠπίσατο πλείονα· τῷ φιλεῖν ἐμὲ, καὶ τῷ γλῶτταν ἔχειν ἀρκοῦσαν τῇ γνώμῃ. ὃν ἂν ἴδῃς ἡδέως, εἶδες ὡς ἐγὼ βούλομαι.

ΤΩι ΑΥΤΩι.

ΔΕΔΕΞΟ μετὰ τῆς ἐμψύχου καὶ τὴν ἄψυχον ἐπιστολήν· μετὰ τοῦ θαυμαστοῦ Γεροντίου, ταῦτα τὰ γράμματα, νόμῳ τὸ πλέον ἢ τῇ χρείᾳ τοῦ προσειπεῖν σε γινόμενα. ὅτι γὰρ ἡμεῖς συζῶμεν τῇ περὶ σοῦ μνήμῃ, μυρίων ἐπιστολῶν μακρῷ μεγαλοφωνότερον ὁ νεανίσκος ἂν διηγήσαιτο.

ΤΡΩΙΛΩι.

ΟΥΤΕ ἐπὶ τοῖς αὐτοῖς ἄνθρωποι φιλοῦσι καὶ ἐπαινοῦσιν· οὔτε μία δύναμις τῆς ψυχῆς ἐπ᾽ ἄμφω τέτακται ταῦτα· ἀλλὰ τῷ παθητικῷ μὲν οἰκειούμεθα καὶ ἀλλοτριούμεθα, τῷ δὲ κρίνειν δυναμένῳ καὶ λόγον ἔχοντι τῆς ψυχῆς, ἐπαινοῦμέν τε καὶ μεμφόμεθα.

ΘΕΟΔΩΡΩι ΙΑΤΡΩι.

ΑΓΑΘΟΝ ἀναγκαῖον ἡ ὀλιγοσιτία· ἣν ἕτερος μὲν ἄν τις καὶ σκώψειε· σοὶ δὲ οὐ θέμις, Ἱπποκράτην αὐχοῦντι· ὃς ἀφορίζων, τὴν ἔνδειαν ἔφη ὑγιείας εἶναι μητέρα,

ΗΛΙΟΔΩΡΩι.

Η φήμη λέγει δύνασθαί σε πολλὰ παρὰ

τῷ νῦν ἔχοντι τὴν Αἰγυπτίων ἀρχήν. καὶ ἀληθῆ λέγει. διαπρεπέστατος γὰρ εἶ, καλῶς τῷ δύνασθαι χρώμενος. ὅπως οὖν ὄναιο τῆς σῆς φύσεως καὶ δυνάμεως ὑπὲρ ὧν ὁ ἐμὸς Εὐσέβιος δεῖται, λέγοντος ἄκουσον· ἵν' εἰδῇς ὅτι καὶ ῥήτορα συνεξητάσαμεν.

ΤΩι ΑΔΕΛΦΩι.

ΟΙ ἀσκληπιάδαι τοῖς δυσεμέτοις ὕδατος χλιαροῦ διδόασιν ἀποῤῥοφεῖν, ἵνα τούτῳ συνεπισπάσωνται καὶ τὸ προαποκείμενον. βούλομαι δή σοι κἀγὼ φήμας καινὰς ἔναγχος ἐκ τῆς ἠπείρου διακομισθείσας ἀπαγγεῖλαι, ἵνα μοι πολλαπλασίους αὐτὰς ἀποδῷς, προσθεὶς ἔτι πλέον εἰδὼς τυγχάνεις.

ΠΡΟΣ ΕΠΙΣΚΟΠΟΝ
ἐξωσθέντα τῆς ἐπισκοπῆς, μὴ
βουληθέντα συνθέσθαι τῷ
Αρείου δόγματι.

ΑΠΕΛΑΒΕΣ ὅπερ ἦς, οὐκ ἀπέβαλες. οὐ γὰρ ὅταν τις τοῦ τῆς ἀσεβείας χωρισθῇ καταλόγου, τότε καὶ τῶν τῆς εὐσεβείας ἀπεστέρηται θρόνων. Αἰγύπτου δὲ προειπόντος τὴν ἀλλοτρίωσιν, καὶ νόμιζε πρός σε τὸν προφήτην μεγαλοφώνως κεκραγέναι, Τί σοι καὶ τῇ γῇ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γεών; τὸ γὰρ ἔθνος, θεομάχον ἀρχαῖον, καὶ πατράσιν ἁγίοις πολέμιον.

ΔΟΜΕΤΙΑΝΩι ΣΧΟΛΑΣΤΙΚΩι.

ΤΑ δίκαια χρήζει συμμάχων· καὶ γίγνοιντ' αὖ οἱ βοηθοῦντες αὐτοῖς εὐδαίμονες, τοῖς ὀρθῶς ἔχουσι συμπονοῦντες. εἱλόμην δή σε τούτων σύμβολον, γνώμη τε ἀμυνόντα καὶ τέχνη. τὸ μὲν οὖν ἐμὸν, ἅπασιν εὖ ποιεῖν εἰς ἂν δυνώμαι· δίδου δὲ αὐτοῖς ἀφορμάς. αἰσθήσῃ γὰρ φιλίας, ἣν οὔτε αὐτὸς μέμψῃ, γελάσει τε ἴσως οὐδείς.

ΕΚ ΤΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ἐπιστολῶν.

ΝΙΚΟΒΟΥΛΩι.

ΤΟ λακωνίζειν, οὐ τοῦτό ἐστιν ὅπερ οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλείστων ὀλίγας. οὕτως ἐγὼ, καὶ βραχυλογώτατον Ὅμηρον λέγω, καὶ πολὺν τὸν Ἀντίμαχον. πῶς; τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' οὐ τοῖς γράμμασι.

ΕΥΔΟΞΙΩι ΡΗΤΟΡΙ.

ΕΡΩΤΑΣ πῶς τὰ ἡμέτερα; καὶ λίαν πικρῶς. Βασίλειον οὐκ ἔχω, Καισάριον οὐκ ἔχω, τὸν πνευματικὸν ἀδελφὸν καὶ τὸν σωματικόν. ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, μετὰ τοῦ Δαβὶδ φθέγγομαι. τὰ τοῦ σώματος πονηρῶς ἔχει. τὸ γῆ-

ρας ὑπὲρ κεφαλῆς· φροντίδων ἐπιπλοκαὶ, πραγμάτων ἐπιδρομαί· καὶ τῶν φίλων ἄπιστα, καὶ τῆς ἐκκλησίας ἀποίμαντα. ἔῤῥει τὰ καλά· γυμνὰ τὰ κακά· ὁ πλοῦς ἐν τῇ νυκτὶ, πυρσὸς οὐδαμοῦ· Χριστὸς καθεύδει. τί χρὴ παθεῖν; μία μοι τῶν κακῶν ἡ λύσις ὁ θάνατος. καὶ τὰ ἐκεῖθεν μοι φοβερὰ, τοῖς ἐντεῦθεν τεκμαιρομένῳ.

ΓΡΗΓΟΡΙΩι ΝΥΣΣΗΣ.

ΔΥΣΧΕΡΑΙΝΕΙΣ τῇ περιόδῳ, καὶ ἀστατεῖν σεαυτῷ φαίνῃ, καθάπερ τῶν ξύλων ἃ καθ' ὑδάτων φέρεται. μηδαμῶς, ὦ θαυμάσιε, μὴ οὕτως ἔχε. τῷ μὲν γὰρ ἀκούσιος ἡ φορὰ, σοῦ δὲ κατὰ θεὸν ἡ περίοδος· καὶ πάγιον τὸ τοὺς πολλοὺς εὖ ποιεῖν, κἂν εἰ μὴ τόπῳ πεπήγοις. εἰ μὴ καὶ τὸν ἥλιον αἰτιῷτό τις, ὅτι περιτρέχει σπείρων τὴν ἀκτῖνα, καὶ πάντα ζωογονῶν ὅσα ἐπέρχεται· ἢ καὶ τῶν ἀστέρων τοὺς ἀπλανεῖς ἐπαινῶν, κακίζοι τοὺς πλανήτας ὧν καὶ τὸ πλάνον ἐναρμόνιον.

ΤΩι ΑΥΤΩι.

ΜΗ σφόδρα δάκνου τοῖς λυπηροῖς. ἂν γὰρ ἧττον λυπώμεθα, ἧττον ἐστὶ λυπηρά. οὐδὲν δεινὸν εἰ αἱ ἐθάλφθησαν οἱ αἱρετικοὶ, καὶ τῷ ἔαρι θαῤῥοῦσι, τῶν φωλεῶν ἐξερπύσαντες, ὡς αὐτὸς γράφεις. μικρὰ συρίξουσιν, εὖ οἶδα· εἶτα καταδύσονται, καὶ τῇ ἀληθείᾳ καὶ τῷ καιρῷ πολεμούμενοι· καὶ τόσῳ μᾶλλον ὅσῳπερ αὐτῷ τῷ θεῷ τὸ πᾶν ἐπιτρέπωμεν.

ΤΩι

ΤΩι ΑΥΤΩι.

ΠΕΡΙ ὧν ἐπέσταλκας, οὕτως ἔχομεν. ὅτι ὑπερορώμενοι δυσχεραίνομεν, καὶ τιμώμενοι χαίρομεν· τοῦ μὲν γὰρ ἡμεῖς ἄξιοι· τὸ δὲ, τῆς ἡμετέρας φιλοτιμίας. προσδέχου περὶ ἡμῶν. τῇ βραχυλογίᾳ συγγίνωσκε. πάντως γὰρ, εἰ καὶ μικρὰ ταῦτα, σιωπῆς γε μακρότερα.

ΠΡΟΚΟΠΙΩι.

ΕΧΩ μὲν οὕτως, εἰ δεῖ τἀληθὲς γράφειν, ὥστε πάντα σύλλογον φεύγειν ἐπισκόπων· ὅτι μηδεμιᾶς συνόδου τέλος εἶδον χρηστὸν, μηδὲ λύσιν κακῶν μᾶλλον ἐσχηκυίας ἢ προσθήκην. αἱ γὰρ φιλονικίαι καὶ φιλαρχίαι (ἀλλ' ὅπως μή με φορτικὸν ὑπολάβῃς οὕτω γράφοντα) εἰσὶ λόγου κρείττονες· καὶ θᾶττον ἄν τις ἐγκληθείη κακίαν ἑτέρων δικάζων, ἢ τὴν ἐκείνων λύσαι. διὰ τοῦτο εἰς ἐμαυτὸν συνεστάλην, καὶ μόνην ἀσφάλειαν ψυχῆς, τὴν ἡσυχίαν ἐνόμισα. νῦν δὲ καὶ τὴν ἀῤῥωστίαν ἔχω προσαγωνίζουσαν τῆς κρίσεως· ἀεὶ σχεδὸν τὰ τελευταῖα πνέων, καὶ εἰς οὐδὲν ἐμαυτῷ χρήσασθαι δυνάμενος. διὰ τοῦτο συγγινωσκέτω μὲν ἡ σὴ μεγαλόνοια· πειθέτω δὲ διὰ σοῦ καὶ ὁ εὐσεβέστατος βασιλεὺς μὴ ῥᾳθυμίαν ἡμῶν καταγινώσκειν, ἀλλὰ συγγινώσκειν τῇ ἀσθενείᾳ· δι' ἣν οἶδε καὶ συγχωρήσας ἡμῖν δεηθεῖσιν ἀντ' ἄλλης εὐεργεσίας τὴν ἀναχώρησιν.

ΑΝΤΣΙΩι.

ΠΩΣ ἔχει τὰ πράγματα ἡμῖν, ἐρωτᾷς; μετά τινος ἰσορροπίας ἀποκρινόμεθα. ἐπρέσβευον Αθηναῖοι πρὸς Λακεδαιμονίους, (φησὶν) ἡνίκα ἐτυράννουν. ἡ πρεσβεία δὲ ἦν, γνῶναι τὰ αὐτοῖς ἐκεῖθεν φιλάνθρωπον. ὡς δ' ἐπανῆκον ἐκ τῆς πρεσβείας, ἔπειτα ἤρετό τις, πῶς ἡμῖν οἱ Λακεδαιμόνιοι; οἱ δὲ ὡς μὲν δούλοις (ἔφασαν) λίαν χρηστῶς· ὡς δὲ ἐλευθέροις, λίαν ὑβριστικῶς. τοῦτο γοῦν καὶ αὐτὸς ἔχω γράφειν. πράττω μὲν γὰρ, τῶν μὲν ἀπεγνωσμένων φιλανθρωπότερον· τῶν δὲ μελλόντων θεῷ, φορτικώτερον. ἥ τε γὰρ νόσος ἔτι παραλυπεῖ, οἵ τε φίλοι κακοῦντες οὐκ ἀνιῶσι, καὶ τὰ δυνατὰ βλάπτοντες. ἀλλ' εὔχου τὸ θεῖον εὐμενὲς ἡμῖν εἶναι· καὶ δυοῖν θάτερον, ἢ φευξόμεθα τὰ δεινὰ πάντως, ἢ καρτερήσομεν. ἔστι δὲ καὶ τοῦτο ἐπιεικῶς συμφορᾶς ἐλάττωσις.

ΤΩι ΚΕΛΕΤΣΙΩι.

ΜΗ κρίνε με σιγῶντα· οὐδὲ γὰρ ἐγώ σε φθεγγόμενον. ὃ περὶ τῶν βρωμάτων ὁ Παῦλος ἐνομοθέτησεν. εἰ δὲ κρίνεις, φοβοῦ τὴν γλῶσσαν, μὴ καὶ σοῦ κινηθῇ πρῶτον, εἰ σε λάβοι τοῦ σιωπᾶν ἄξιον.

ΝΙΚΟΒΟΤΛΩι.

Αεὶ προτιμήσας ἐμαυτοῦ τὸν μέγαν Βασίλειον (εἰ καὶ τἀναντία τούτων τισὶν δοκεῖ) καὶ νῦν προτιμῶ· οὐχ ἧττον διὰ τὴν ἀλήθειαν, ἢ τὴν φιλίαν. διὰ

τοῦτο

τοῦτο προστιθεὶς τὰς ἐκείνου ἐπιστολὰς, τὰς ἐμὰς ὑποτίθημι. καὶ γὰρ ἐπιθυμῶ πανταχοῦ συνεζεῦχθαι ἡμᾶς ἀλλήλοις, καὶ ἅμα τί που παρέχω τοῖς ἄλλοις τοῦ μετρίου καὶ τῆς ὑφέσεως.

ΕΚ ΤΩΝ ΒΑΣΙΛΕΙΟΥ ΕΠΙΣΤΟΛΩΝ.

ΟΛΥΜΠΙΩι.

ΕΓΡΑΦΕΣ ἡμῖν πρότερον μὲν ὀλίγα, νῦν δὲ οὐδὲ ὀλίγα· καὶ ἔοικεν ἡ βραχυλογία προϊοῦσα τῷ χρόνῳ, παντελὴς γίνεσθαι ἀφωνία. ἐπάνελθε τοίνυν ἐπὶ τὸ ἔθος. ὡς οὐκ ἔτι σοι μεμψόμεθα λακωνίζοντι πρὸς ἡμᾶς διὰ γραμμάτων, ἀλλὰ καὶ τὰ μικρὰ γράμματα, σύμβολα ὄντα τῆς μεγάλης σου διαθέσεως, πολλοῦ ἄξια ποιησόμεθα. μόνον ἐπίστελλε ἡμῖν.

ΑΝΕΠΙΓΡΑΦΟΣ.

ΟΤΙ σε φιλῶ, οἷς ἐπιστέλλω μάθε· ὅτι με μισεῖς, οἷς σιωπᾷς ἔγνων. γράφε δὲ κἂν τοῦ λοιποῦ, καλάμῳ καὶ μέλανι καὶ βραχεῖ χάρτῃ φιλοῦντας φιλῶν.

ΑΛΛΗ ΑΝΕΠΙΓΡΑΦΟΣ.

ΕΝ γνωρίσματι τοῦ ζῆν ὁ λόγος. πῶς δὲ σὺ ὑπὲρ γῆς εἶναι νομισθείης, μηδέποτε φθεγξάμενος; ἀλλ' ἄπωσαι τὴν σιωπήν σου, γράψας ἡμῖν, καὶ ἐμφανίσας σαυτὸν ὅτιπερ ζῇς.

ΛΟΥΚΙΑΝΟΥ ΔΙΑΛΟΓΟΙ ΤΙΝΕΣ.

ΔΙΟΣ ΚΑΙ ΕΡΜΟΥ.

Ζ. Τὴν τοῦ Ἰνάχου παῖδα τὴν καλὴν οἶσθα ὦ Ερμῆ; Ερ. Ναί. τὴν Ἰὼ λέγεις. Ζ. Οὐκέτι παῖς ἐκείνη ἐστίν, ἀλλὰ δάμαλις. Ερ. Τεράστιον τοῦτο. τῷ τρόπῳ δ᾽ ἐνηλλάγη; Ζ. Ζηλοτυπήσασα ἡ Ηρα μετέβαλεν αὐτήν. ἀλλὰ καὶ καινὸν ἄλλο τι δεινὸν ἐπιμεμηχάνηται τῇ κακοδαίμονι. βουκόλον τινὰ πολυόμματον, Αργον τοὔνομα, ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν, ἄϋπνος ὤν. Ερ. Τί οὖν ἡμᾶς χρὴ ποιεῖν; Ζ. Καταπτάμενος ἐς τὴν Νεμέαν (ἐκεῖ δέ που ὁ Αργος βουκολεῖ) ἐκεῖνον μὲν ἀπόκτεινον· τὴν δὲ Ἰὼ διὰ τοῦ πελάγους ἐς τὴν Αἴγυπτον ἀπαγαγὼν, Ισιν ποίησον. καὶ τὸ λοιπὸν ἔστω θεὸς τοῖς ἐκεῖ· καὶ τὸν Νεῖλον ἀναγέτω, καὶ τοὺς ἀνέμους ἐπιπεμπέτω, καὶ σωζέτω τοὺς πλέοντας.

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ.

ΗΦ. Τί με ὦ Ζεῦ δεῖ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διατεμεῖν. Ζ. Εὖγε ὦ Ηφαιστε. ἀλλὰ διέλε μου τὴν κεφαλὴν εἰς δύο, κατενεγκών. ΗΦ. Πειρᾷ μου εἰ μέμηνα; πρόσταττε δ᾽ οὖν τἀληθὲς, ὅπερ θέλεις σοι γενέσθαι. Ζ. Διαιρεθῆναί

μοι

μοι τὸ κρανίον. εἰ δ' ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου. ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν. ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, αἵ μου τὸν ἐγκέφαλον ἀναστρέφουσιν. ΗΦ. Ὅρα ὦ Ζεῦ μὴ κακόν τι ποιήσωμεν. ὀξὺς γὰρ ὁ πέλεκυς ἐστὶ, καὶ οὐκ ἀναιμωτὶ οὐδὲ κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε. Ζ. Κατένεγκε μόνον ὦ Ἥφαιστε θαῤῥῶν· οἶδα γὰρ ἐγὼ τὸ συμφέρον. ΗΦ. Ἄκων μὲν, κατοίσω δέ. τί γὰρ χρὴ ποιεῖν, σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος. μέγα ὦ Ζεῦ κακὸν εἶχες ἐν τῇ κεφαλῇ. εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τὴν μήνιγγα παρθένον ζωογονῶν, καὶ ταῦτα ἔνοπλον. ἦ που στρατόπεδον, οὐ κεφαλὴν, ἐλελήθεις ἔχων. ἡ δὲ πηδᾷ, καὶ πυῤῥιχίζει, καὶ τὴν ἀσπίδα τινάσσει, καὶ τὸ δόρυ πάλλει, καὶ ἐνθουσιᾷ. καὶ τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ. γλαυκῶπις μὲν, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς. ὥστε ὦ Ζεῦ μαιωτρά μοι ἀπόδος, ἐγγυήσας μοι αὐτήν. Ζ. Ἀδύνατα αἰτεῖς ὦ Ἥφαιστε. παρθένος γὰρ ἀεὶ θέλει μένειν. ἐγὼ γοῦν, τό γε ἐπ' ἐμοὶ, οὐδὲν ἀντιλέγω. ΗΦ. Τοῦτ' ἐβουλόμην. ἐμοὶ μελήσει τὰ λοιπά· καὶ ἤδη συναρπάσω αὐτήν. Z. Εἴ σοι ῥᾴδιον, οὕτω ποίει. πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

ΠΛΟΥ-

ΠΛΟΥΤΩΝΟΣ, ΚΡΟΙΣΟΥ, ΜΕΝΙΠΠΟΥ.

Κρ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα. ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. Πλ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται, ὁμόνεκρος ὤν; Κρ. Ἐπειδὰν ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ, τοῦ χρυσίου· Σαρδανάπαλος δὲ, τῆς πολλῆς τρυφῆς· ἐγὼ δὲ, τῶν θησαυρῶν· ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν. ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς. καὶ ὅλως λυπηρός ἐστι. Π. Τί ταῦτα φασὶν ὦ Μένιππε; Μ. Ἀληθῆ, ὦ Πλούτων. μισῶ γὰρ αὐτοὺς, ἀγεννεῖς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες, ἔτι μέμνηνται καὶ περιέχονται τῶν ἄνω. χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. Πλ. Ἀλλ' οὐ χρή. λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι. Μ. Καὶ σὺ μωραίνεις ὦ Πλούτων ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; Π. Οὐδαμῶς. ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς. Μ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε ὡς οὐδὲ παυσομένου μου. ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν, καὶ κατᾴδων, καὶ καταγελῶν.

Κρ.

Κρ. Ταῦτα οὐχ ὕβρις; Μ. Οὔκ. Ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι. Κρ. Πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων. Μ. Ὅσου μὲν ἐγὼ χρυσοῦ. Σαρ. Ὅσης δ' ἐγὼ τρυφῆς. Μ. Εὖ γε οὕτω ποιεῖτε. ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ τὸ γνῶθι σαυτὸν πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν. πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

ΖΗΝΟΦΑΝΤΟΥΣ ΚΑΙ ΚΑΛΛΙΔΗΜΙΔΟΥ.

Ζ. Σὺ δὲ ὦ Καλλιδημίδη πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν, ἀπεπνίγην, οἶσθα. παρῆς γὰρ ἀποθνήσκοντί μοι. Κ. Παρῆν, ὦ Ζηνόφαντες. τὸ δὲ ἐμὸν, παράδοξόν τι ἐγένετο. οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα. Ζ. Τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα; Κ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενον ἐπ' ἐμοὶ κληρονόμῳ τεθνήξεσθαι· ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦ-

ἐξεῦρον. πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν (πίνει δ' ἐπιεικῶς) ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ. εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. Ζ. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας. Κ. Ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ, τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν, ἐμοί· σφαλεὶς, οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν. εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην, ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς ὦ Ζηνόφαντες; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν. Ζ. Ἀστεῖα γὰρ ὦ Καλλιδημίδη πέπονθας. ὁ γέρων δὲ, τί πρὸς ταῦτα; Κ. Πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον· εἶτα συνεὶς, οἶμαι, τὸ γεγενημένον, ἐγέλα καὶ αὐτὸς οἷά γε ὁ οἰνοχόος εἴργασται. Ζ. Πλὴν ἀλλ' οὐδέ σε τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι. ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερος ἦν.

ΚΝΗΜΩΝΟΣ ΚΑΙ ΔΑΜΝΙΠΠΟΥ.

Κυ. Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, ὁ νεβρὸς τὸν λέοντα.

λέοντα. Δ. Τί ἀγανακτεῖς ὦ Κνήμων; Κν. Πυνθάνῃ ὅ,τι ἀγανακτῶ; κληρονόμον ἀκούσιον καταλέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ, παραλιπών. Δ. Πῶς τοῦτ' ἐγένετο; Κν. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα ἐθεράπευον ἐπὶ θανάτῳ· κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα· ὡς κἀκεῖνος ζηλώσειε, καὶ τὰ αὐτὰ πράξειε. Δ. Τί οὖν δὴ ἐκεῖνος; Κν. Ὅ, τι μὲν οὖν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις οὐκ οἶδα· ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος. καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ, ὥσπερ τις λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας. Δ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα. ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας. Κν. Ἔοικα. οἰμώζω τοιγαροῦν.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΚΕΡΒΕΡΟΥ.

Μ. Ὦ Κέρβερε (συγγενὴς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν) εἰπέ μοι πρὸς τῆς Στυγὸς, οἷος ἦν ὁ Σωκράτης ὁπότε κατῄει πρὸς ὑμᾶς. εἰκὸς δέ σε, θεὸν ὄντα, μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι ὁπότ' ἐθέλοις. Κ. Πόῤῥωθεν μὲν ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀτρέπτῳ προσώπῳ προσιέναι,

προσιέναι, καὶ οὐ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν· καὶ τοῦτ' ἐμφῆναι τοῖς ἔξω τοῦ στομίου ἑστῶσιν ἐθέλων· ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ, κατέσπασα τοῦ ποδὸς, ὥσπερ τὰ βρέφη ἐκώκυε, καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγίνετο. Μ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; Κ. Οὔκ· ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἑώρα, κατεθρασύνετο, ὡς δῆθεν οὐκ ἄκων πεισόμενος ὃ πάντως ἔδει παθεῖν· ὡς θαυμάσονται οἱ θεαταί. καὶ ὅλως, περὶ πάντων γε τῶν τοιούτων εἰπεῖν ἂν ἔχοιμι· ἕως τοῦ στομίου τολμηροὶ, καὶ ἀνδρεῖοι· τὰ δὲ ἔνδοθεν, ἔλεγχος ἀκριβής. Μ. Ἐγὼ δὲ πῶς σοι κατεληλυθέναι ἔδοξα; Κ. Μόνος, ὦ Μένιππε, ἀξίως τοῦ γένους· καὶ Διογένης πρὸ σοῦ· ὅτι μὴ ἀναγκαζόμενοι εἰσήειτε, μηδ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι, γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

ΤΕΛΟΣ.